| | |
|---|---|
| Ῥηματικοῦ ὀνόματος. | 46 |
| Ῥήματος. | 19 |
| Σολοικισμοῦ. | 237 |
| Στιγμῶν. | 181 |
| Συγκριτικοῦ ὀνόματος. | 90 |
| Συνιζήσεως ὅρος. | 168 |
| Συλλαβῆς διαίρεσις. | 165 |
| Συμφωνίας τῆς ὀνομαστικῆς μετὰ τοῦ ῥήματος. | 39 |
| Συμφ. τοῦ οὐσιαστικοῦ μετὰ τοῦ ἐπιθέτου. | 41 |
| Συμφ. τοῦ διαφορικοῦ μετὰ τοῦ πρὸς ὃ διαφέρεται. | 42 |
| Συνδέσμου. | 28 |
| Συνδέσμων συντάξεως. | 141 |
| Σχηματισμοῦ τῶν χρόνων καὶ τῶν κανόνων αὐτῶν. | 107 |
| Τόνων. | 152 |
| Τύπος κατὰ τοὺς γραμμ. τί ἐστι. | 22 |
| υ τοῦ διχρόνου. | 129 |
| Ὑπερθετικοῦ ὀνόματος. | 90 |
| Ὑποκοριστικοῦ. | 91 |

„ Παρὰ τὰς τεχνολογίας εἰσὶ προσέτι τάδε.

| | |
|---|---|
| Ἀμμωνίου περὶ ὁμοίων καὶ διαφόρων λέξεων. | 239 |
| Τάξις παλαιὰ καὶ ὀνομασίαι ἀρχόντων. | 320 |
| Ὀρβικίου τῶν περὶ τὸ στράτευμα ταξεων. | 338 |
| Τὰ τοῦ η σημαντικά. | 339 |
| Τὰ τοῦ ως σημαντικά | 340 |
| Περὶ τοῦ ἐφελκυστικοῦ ν, ἐκ τῶν τοῦ Χοιροβοσκοῦ. | 342 |
| Ἐκ τοῦ αὐτοῦ Χοιροβοσκοῦ, πρὸς τοὺς ἐν πᾶσι τοῖς Ῥήμασι κανόνας ζητοῦντας καὶ ὁμοιότητας. | 343 |
| Χρυσᾶ ἔπη τοῦ Πυθαγόρου. | 345 |

ΤΕΛΟΣ.

Ἐπιῤῥήματος. 30
Ἐπιῤῥημάτων συντάξεως, 123
Ἡρωϊκῶν στίχων. 163
Ἡρωελεγείων. 171
ῑ διχρόνου. 212
Ἰαμβικῶν στίχων. 172
Κράσεων. 197
Κτητικοῦ ὀνόματος. 89
Κώλων τῶν ἡρωϊκῶν στίχων. 170
Μετοχῆς. 32
Μέσων ῥημάτων κατὰ τὰς διαφόρους αὐτῶν πτώσεις. 66
Ὀνομάτων κατὰ τὰς αὐτῶν καταλήξεις. 223
Ὀνόματος. 12
Οὐδετέρων ῥημάτων διαφόρως συντασσομένων. 65
Παθῶν τῶν τῆς λέξεως. 188
Παθῶν τῆς προσῳδίας. 181
Παθητικῶν ῥημάτων διαφόρως συντασσομένων. 61
Παρωνύμου ὀνόματος. 92
Πατρωνυμικοῦ ὀνόματος. 84
Πνευμάτων. 175
Προσῳδίας. 10
Προσῳδίας κατὰ τοὺς αὐτῆς χρόνους. 162
Προθέσεως. 33
Προθέσεων κατὰ τὰς ἐν συντάξει αὐτῶν πτώσεις. 43
Προθέσεων κατὰ τὰς ἐν συνθέσει αὐτῶν πτώσεις. 54
Πτώσεων διαφόρων μετὰ ἐπιῤῥημ. καὶ συνδέσμων. 58
ρ̄ συμφώνου. 177

Ἔλεγχος τῶν περιεχομένων Τεχνολογιῶν

Ἐν τῇ παρούσῃ

# ΣΤΑΧΥΟΛΟΓΙΑ,

## Κατὰ Ἀλφάβητον.


Α τοῦ διχρόνου φωνήεντος, φύλ. 201
Αἰτιατικῆς κατὰ τὰς διαφόρους αὐτῆς σημασίας. 74
Ἀντωνυμίας. 37
Ἀνωμάλων ῥημάτων. 232
Ἀπαρεμφάτων μετὰ ῥημάτων. 69
Ἀποθετικῶν ῥημάτων μετὰ διαφόρων πτώσεων. 68
Ἄρθρου. 29
Αὐξήσεως τῆς τῶν ῥημάτων. 101
Βαρβαρισμοῦ τεχνολογία. 235
Γενικῆς πτώσ. κατὰ τὰς διαφόρους αὐτῆς σημασίας. 74
Γραμμάτων εἰκοσιτεσσάρων. 6
Διαιρέσεως ὁλικῆς τοῦ ὀνόματος. 97
Διαιρέσεως τῶν κλίσεων. 16
Δοτικῆς κατὰ τὰς διαφόρους αὐτῆς σημασίας. 79
Ἐγκλίσεων κατὰ τὴν αὐτῶν τάξιν. 72
Ἐγκλιτικῶν καὶ ἐγκλινομένων. 159
Εἰδῶν τῶν ὀνομάτων. 84
Εἰδῶν τῆς σημασίας. 95
Ἐνεργητικῶν ῥημάτων διαφόρως συντασσομένων. 59


Ἐπιῤ-

Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάου φύσεως. Ἀλλ' ἔρχου ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμενος τελέσαι· τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν ᾗτε ἕκαστα διέρχεται, ᾗτε κρατεῖται.
Γνώσῃ δ' ἣ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην.
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, ὅτι ἀγαθῶν πέλας ὄντων, οὐκ ἐσορῶσιν,
Οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε,
Σύμφυτος· ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν τε κακῶν παύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξας, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν·
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοι τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
Ἐξακέσας· ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔντε καθαρμοῖς,
Ἔντε λύσει ψυχῆς κρίνων, καὶ φράζου ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος θεὸς, ἄμβροτος, οὐκέτι θνητός.

Τέλος τῶν χρυσῶν ἐπῶν τοῦ Πυθαγόρου.

Ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζου.
Οὐ πάνυ τοῖς ἀγαθοῖς, τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε, καὶ ἐσθλοί.
Προσπίπτουσ᾽, ὧν μήτ᾽ ἐκπλήσσεο, μήτ᾽ ἂρ ἐάσῃς
Εἴργεσθαι σαυτόν. Ψεῦδος δὲ ἢν πέρ τι λέγηται,
Πράως ἴκ᾽. ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελέσθω·
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
Πρῆξαι, μήδ᾽ εἰπεῖν, ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
Δειλοῦ τοι πρήσσειν τε, λέγειν τ᾽ ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ᾽ ἐκτελέειν ἅ, σε μὴ μετέπειτ᾽ ἀνιήσῃ.
Πρῆσσε δὲ μηδὲν, τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκου
Ὅσσα χρεών. καὶ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ᾽ ὑγιείης τῆς περὶ σῶμ᾽ ἀμέλειαν ἔχειν χρὴ,
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
Ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ᾽, ὃ μή σ᾽ ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἔχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μήδ᾽ ἀνελεύθερος ἴσθι. Μέτρον δ᾽ ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ᾽, ἅ σε μὴ βλάψῃ. λόγισαι δὲ πρὸ ἔργου.
Μήδ᾽ ὕπνον μαλακοῖσιν ἐπ᾽ ὄμμασι προσδέξασθαι,
Πρὶν, τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἀπελθεῖν·
Πῇ παρέβην; τί δ᾽ ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ᾽ ἀπὸ πρώτου, ἐπέξιθι· καὶ μετέπειτα.
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο. χρηστὰ δὲ, τέρπου.
Ταῦτα πόνει, ταῦτ᾽ ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε,

Ταῦ-

ἕτερα εὕροι τις ἂν, τοιαῦτα ἐξετάζων. ἃ χρὴ κατὰ τὸν προσήκοντα λόγον ἑκάστῳ ἀνάγειν ὡς εἰς λιμένα τινὰ, εἰς τοὺς προσήκοντας ἐκ τῶν τεσσάρων τῆς Ὀρθογραφίας κανόνων, Ἀναλογίαν φημὶ, Διάλεκτον, Ἐτυμολογίαν, καὶ Ἱστορίαν.

# ΤΕ´ΛΟΣ.

## ΧΡΥΣΑ` Ε῎ΠΗ ΤΟΥ͂ ΠΥΘΑΓΟ´ΡΟΥ.

Ἀθανάτους μὲν πρῶτα θεοὺς νόμῳ, ὡς διάκειται.
Τίμα, καὶ σέβου ὅρκον, ἔπειθ᾽ ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβου δαίμονας, ἔννομα ῥέζων,
Τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.
Τῶν δ᾽ ἄλλων ἀρετῇ ποιοῦ φίλον, ὅς τις ἄριστος.
Πραέσι δ᾽ εἶκε λόγοις, ἔργοισί τ᾽ ἐπωφελίμοισι.
Μὴδ᾽ ἔχθραινε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ. Δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι, κρατεῖν δ᾽ εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. Πρήξεις δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου,
Μήτ᾽ ἰδίῃ. Πάντων δὲ μάλιστ᾽ αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε, λόγῳ τε.
Μὴδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
Χρήματα δ᾽ ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ᾽ ὀλέσθαι.
Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε᾽ ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ᾽ ἀγανάκτει.

πως ἀκριβεῖς. Πρότερον μὲν γὰρ εὕρηνται τοῖς ἀνθρώποις αἱ λέξεις, διὰ τὴν ἀνάγκην τῆς πρὸς ἀλλήλους ὁμιλίας· ὕστερον δ' ἐπιγενομένη ἡ τέχνη, τὰ μὲν ἠδυνήθη ῥυθμίσαι, καὶ εἰς εἰκόνα τινὰ ἀγαγεῖν. τὰ δὲ μὴ δυνηθεῖσα, εἴασεν ἀφ' ἧς εἶχον συνηθείας

Καὶ πῶς γὰρ αὐτὴν ἐξαριθμήσαιτο τῆς τέχνης τὸ εὐπερίτρεπτόν τε καὶ ἄστατον; Ἔοικε γὰρ δόγμα ὂν καὶ αὐτὴ ἀνθρώπινον, φθορᾷ ὑποκεῖσθαι καὶ αὕτη, καὶ μεταβολῇ, καὶ τροπῇ, οἷα δὴ καὶ τ' ἄλλα τὰ ἀνθρώπων πράγματα.

Εὕροι γὰρ ἄν τις σκοπῶν λέξεις πλείστας, οἷς ἄλλως μὲν οἱ πάλαι ἐχρῶντο ἄνθρωποι, ἄλλως δ' οἱ νῦν. Καὶ αἱ τοῖς πάλαι οὖσαι ἐν χρήσει, παρεωράθησαν, καὶ ἀπερρίφθησαν ὕστερον. ἰδοὺ γὰρ τὸ Τύραννος, βασιλικὸν ὂν ὄνομα πρότερον, βλασφημεῖται νῦν. καὶ τὸ Χυδαῖοι οἱ πεπληθυσμένοι, ἀπὸ τοῦ χύδην λεγόμενον, νῦν ἐπὶ ὀνειδισμοῦ λαμβάνεται. καὶ τὸ Πανοῦργος ἐπὶ φρονίμων λαμβανόμενον πρότερον, βλασφημεῖται νῦν. καὶ τὸ Ἐξαίσιον καὶ Ἔκδικον τὸ ἔξω τοῦ αἰσίου, καὶ τοῦ δικαίου ἐλέγετο, νῦν δὲ ἐπὶ καλοῦ λαμβάνεται. καὶ τὸ Ἀνόσιος πάλαι μὲν τὸν ἄταφον ἐδήλου, νῦν δὲ τὸν ἀσεβῆ. καὶ τὸ Καθωσιωμένος πάλαι μὲν τὸν ὅσιον ἐδήλου, νῦν δὲ τὸν ἀφιερωμένον. καὶ τὸ Κάθαρμα ἀπὸ τοῦ καθαίρω, καὶ τὸ Ἄγος, καὶ τὸ Ἀναγὴς ἀπὸ τοῦ ἄζω τὸ σέβομαι γινόμενα, πάλαι μὲν ἐπὶ ἐπαίνου ἐλαμβάνοντο, νῦν δὲ ἐπὶ ψόγου. τὸ δὲ Παναγὴς ἐπὶ ἐπαίνου μόνου ἀπὸ τοῦ αὐτοῦ παραγόμενον. Καὶ μυρία

ἕτε-

νεπεία λόγε διὰ τὸ ἀχασμώδητον. Ἐν τοῖς Ὀνόμασι ἐφέλκονται τὸ Ν. αἱ δοτικαὶ τῶν πληθυντικῶν τῶν ὀνομάτων καὶ τῶν Μετοχῶν, φωνήεντος ἐπαγομένε. οἷον, Τοῖς ἅπασιν ἔδωκα. Ταῖς φιλότησιν εὐφραίνομαι. Τοῖς βήμασιν ἐμπεριπατῶ. Τοῖς τύψασιν ἐμωλωπίσθην. καὶ τὰ τοιαῦτα. Συμφώνε δὲ ἐπαγομένε, οὐ γράφεται τὸ Ν. τοῖς ἅπασι δέδωκα. τοῖς τύπτεσι μωλωπίζομαι. Καὶ αἱ Ἀντωνυμίαις ἐφελκυστὸν τὸ Ν. σφίσιν, ὅμως καὶ σφῶϊν, ὡσαύτως καὶ νῶϊν. τὸ Ἡμῖν πάντοτε μετὰ τῦ ν. Ἐν τοῖς Ῥήμασι δὲ τὰ τρίτα πρόσωπα ἑνικῶν καὶ πληθυντικῶν, ἐν τοῖς ὀφειλομένοις χρόνοις ἐφέλκονται τὸ Ν, ἔτυψεν ἐκεῖνος. ἔτυπτεν ἕτος. τύπτεσιν ἄλλοι. τύψεσιν ἄλλοι. τύπτεσιν ἕτεροι. καὶ τὰ τοιαῦτα. Καὶ ἐν τοῖς Ἀττικοῖς τρίτοις τῶν ἑνικῶν· γράψειεν ἕτος. ἀναγνώσειεν ἐκεῖνος.

Τινὲς δὲ ἐν τοῖς Ἐπιῤῥήμασι, τῷ ἄνωθεν, κάτωθεν, ἐρανόθεν, γῆθεν, καὶ τοῖς ὁμοίοις ἐφελκυστικὸν λαμβάνεσι τὸ Ν, ὅθεν καὶ συμφώνε ἐπαγομένε ἐ γράφεσιν αὐτό. ἐρανόθε τὸ φῶς, γῆθε τὰ ἄνθη. ἡ δὲ συνήθεια πάντοτε μετὰ τῦ ν, τὰ τοιαῦτα γράφει.

## ἘΚ ΤΟΥ͂ ἈΥΤΟΥ͂ ΧΟΙΡΟΒΟΣΚΟΥ
### πρὸς τοὺς ἐν πᾶσι τοῖς Ῥήμασι κανόνας ζητοῦντας, καὶ ὁμοιότητας.

Οὐχὶ ζητεῖν ἐν πᾶσι τοῖς ῥήμασιν ὁμοιότητας ἀστασιάστες, καὶ κανόνας ἀσφαλεῖς, καὶ τύπες

Τὴν Βεβαίωσιν.

Ὡς χάριεν ἔσ' ἄνθρωπος ἀνθρώποις.

Τὸ Ἀλλά.

Ὡς τοῦτο ἀλήθειά τις. Ἀττικὸν τοῦτο.

Τὸ Ἕως.

Ὡς ὁ μὲν ἔνθα πολὺν βίοτον καὶ χρυσὸν ἀγείρων.

Τὸ Οὕτως.

Ὥς ποτ' ἔην νῦν αὖτε νεώτερος ἀντιωόντων.

Τὸ Οὐκέτι.

Ὡς οὐκ ἔσι χάρις μετ' ὄπισθ' εὐεργέων.

Διηγηματικὸν κεφάλαιον.

Ὣς ἦλθ', ὡς Αἴγισθος ἐμήσατο λυγρὸν ὄλεθρον.

Τὸ Αἰών.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.

Τὸ Τοσοῦτον.

Ὣς Φαίηκες, ἵνα πάντων ἴδρυες ἀνδρῶν.

Τὸ Ὠτίον.

Ὅπερ μόνον ψιλοῦται, τῶν ἄλλων πάντων δασυνομένων καὶ ὀξυνομένων.

Τὴν Ἐπὶ πρόθεσιν.

Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει Θεὸς ὡς τὸν ὁμοῖον.

ΤΕΛΟΣ.

## ΠΕΡΙ ΤΟΥ ἘΦΕΛΚΥΣΤΙΚΟΥ, Ν,

Ἐκ τῶν τοῦ Χοιροβοσκοῦ.

Περὶ τοῦ ἐφελκυστικοῦ Ν, ἤγουν τοῦ τιθεμένου ἐν συ-

Ω῎ς μοι καὶ τόνδ᾽ ἄνδρα πελώριον ἐξονομήνῃς.

Τὸ Ὅπως.

Ὡς ἀπείσῃς Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι.

Τὸ Ὅτι.

Ἔγνως ὡς θεός εἰμι.

Καὶ Τό.

Ὡς δὴ τοῦδ᾽ οὕνεκά σφιν ἑκηβόλῳ.

Τὸ Ἐπεί.

Ὡς ἴδε χῶρον ἔρημον ὅθ᾽ ἕστασαν ὠκέες ἵπποι.

Τὸ Εἴθε, εὐκτικὸν Ἐπίρρημα.

Ὡς ὄφειλε θάνατός μοι ἀδεῖν κακός.

Τὸ Διό.

Ὡς αὖ ἔπειτ᾽ ἀπὸ σεῖο φίλον τέκος.

Τὸν Εἰ, συναπτικὸν Σύνδεσμον.

Ὡς ὑμεῖς παρ᾽ ἐμεῖο θοὴν ἐπὶ νῆα κίοιτε.

Τὸ Ὁμοίως.

Μνήσομαι ὥς μ᾽ ἀσύμφυλον ἐν Ἀργείοισιν ἔρεξεν.

Τὸ Ὅμως.

Ὡς πρῶτον κίκορας δαμάσατο.

Τὸ Ὅσον.

Καὶ κρέας ὡς αἱ χεῖρες ἐχάνδανον.

Τὸν Γὰρ Σύνδεσμον.

Ὡς ἔτοι ποταμῷ δαμήμεναι αἴσιμον ἦεν.

Τὸ Εὐθέως.

Ὡς ἴδεν ὥς μιν μᾶλλον ἔδυ χόλος.

Τὸ Ὡσαύτως.

Ὡς δ᾽ αὖ νῦν μοι ἄγαθε θεοί.

Καὶ διασαφητικόν. Διασαφητικὸς δέ ἐστιν, ὅταν δύο προτέθηται, τὸ ἓν αἱρεῖται. οἷον,

Θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον.
Ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης.

Ἔστι δὲ ἀντὶ τοῦ καθώς. ὡς τὸ,

Ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ.

## ΤΑ ΤΟΥ Ω͂Σ ΣΗΜΑΝΤΙΚΑ.

ΤΟ ὡς πόσα σημαίνει; Τριακονταδύο.

Παραβολήν.

Ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας.

Ἀνταπόδοσιν.

Ὣς αὖτις καθ' ὅμιλον ἔδυ Τρώων ἀγερώχων.

Ὑπερβολήν.

Ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.

Ὁμοίωσιν.

Ὡς ὅδ' Ὀδυσσῆος μεγαλήτορος υἱϊ ἔοικεν.

Ἀντὶ τοῦ Ὅμως.

Ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο ἱέμενός περ.

Ἀναφοράν.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.

Θαυμασμόν.

Ὡς ἀγαθαὶ φρένες ἦσαν ἐχέφρονι Πηνελοπείῃ.

Ἀντὶ τοῦ Οὕτως.

Ὣς εἰπὼν, πυλέων ἐξέσσυτο φαίδιμος Ἕκτωρ.

Τὸν Ἵνα συνδεσμον.

Οὐραγός· ὁ αὐτὸς δὲ Ὀπισθοφύλαξ. ἡ συνήθεια Πεντηκοντοφύλακα αὐτὸν καλεῖ. Ὁ δέ γε τοῦ παντὸς Στρατοῦ ἡγεμονεύων, Βασιλεύς.

## ΤΕ´ΛΟΣ.

## ΤΑ´ ΤΟΥ͂ Η͂ ΣΗΜΑΝΤΙΚΑ´.

ΤΟ´ ἢ διαζευτικὸς Σύνδεσμος ψιλούμενος, καὶ περισπώμενος, πόσα σημαίνει; Τέσσαρα.

Τὸν δὴ παραπληρωματικὸν Σύνδεσμον, ὡς τὸ,

Ἐπειὴ πολυφέρτερόν ἐστιν.

Καὶ ἐπίρρημα βεβαιώσεως, ἀντὶ τοῦ ὄντως. ὡς τὸ,

Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός.

Σημαίνει καὶ ῥῆμα, ἀντὶ τοῦ εἶπε. ὡς τὸ,

Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

Καὶ ἀπορηματικὸν Σύνδεσμον. ὡς τὸ,

Ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
Ἀτρεῖδαι;

Ψιλούμενον δὲ καὶ βαρύτονον, πόσα σημαίνει;

Τέσσαρα, Σύνδεσμον διαζευτικὸν, ὃ τὰ ἐναντία ἐν τῇ συντάξει διϊστῶντα. ὡς τὸ,

Ἢ νέος, ἠὲ παλαιός.

Καὶ ὑποδιαζευτικόν. Ὑποδιαζευτικὸς δὲ ἐστιν, ὁ διάφορα πράγματα τιθεὶς, καὶ μηδὲν ἕτερον ἐν τῇ αἰτήσει διαιρῶν. οἷον,

Δός μοι χρυσὸν, ἢ ἄργυρον.

# Ο'ΡΒΙΚΙ'ΟΥ ΤΩ͂Ν ΠΕΡΙ' τὸ Στράτευμα Τάξεων.

Ι'Στέον δὲ, ὅτι τῶν περὶ τὸ Στράτευμα Τάξεων καὶ Ἡγεμονιῶν, ὁ μὲν πέντε ἀνδρῶν ἀριθμὸς καλεῖται Πεμπὰς, ὁ δὲ ἄρχων Πεμπάδαρχος. Ο' δὲ τῶν δέκα, Δεκὰς, καὶ δεκάδαρχος. Ο' δὲ τῶν πέντε καὶ εἴκοσι, Λόχος, καὶ Λοχαγός. Ο' τῶν πεντήκοντα, Πεντηκοστὺς, καὶ Πεντηκόνταρχος. Ο' τῶν ἑκατὸν, Τάξις, καὶ Ταξίαρχος. Ο' τῶν πεντήκοντα καὶ διακοσίων, Σύνταγμα, καὶ Συνταγματάρχης. Ο' τῶν πεντακοσίων, Πεντακοσιοστὺς, καὶ Πεντακοσίαρχος. Ο' τῶν χιλίων, Χιλιοστὺς, καὶ Χιλίαρχος. Ο' τῶν δισχιλίων, Μεραρχία καὶ τέλος, καὶ Μεράρχης, καὶ Τελάρχης. Ο' τῶν ἑξακισχιλίων, Φάλαγξ, καὶ Φαλαγγάρχης. Ο' τῶν μυρίων, Μυριαστὺς, καὶ Μυρίαρχος. Αἱ δύο Διφαλαγγαρχίαι, Τετραφαλαγγαρχία ἀνδρῶν μυρίων ἑξακισχιλίων, καὶ ὁ ἄρχων Τετραφαλαγγάρχης. Τὸ μέντοι Πεζικὸν ἅπαν Στράτευμα ὁμωνύμως τοῖς μερικοῖς τάγμασι λέγεται Φάλαγξ, καὶ ὁ ἡγέμενος, Στρατηγός. Τοῦ δὲ Ἱππικοῦ, Ἵππαρχος. τὸ δὲ συναμφότερον Πεζοί τε καὶ Ἱππεῖς, Στρατιά. τῆς δὲ στρατιᾶς τὸ μέτωπον λεγόμενον, ὃ καὶ πρῶτον Ζυγὸν καλοῦσι, Πρωτοστάται, καὶ ὁ ἡγούμενος Πρωτοστάτης. Οἱ δὲ παρ' ἑκάτερα ταττόμενοι Κέρατα, δεξιόν τε καὶ εὐώνυμον, οἱ αὐτοὶ καὶ Παραστάται, ὁ δὲ ἀρχὸς ὁμωνύμως. Οἱ δὲ ὄπισθεν αὐτῶν ὡς ἐπὶ τὸ βάθος ταττόμενοι Ἐπιστάται. Τὸ δὲ ἐπὶ τούτοις πρὸς τὸ βάθος ἔσχατον ζυγὸν, Οὐρὰ, καὶ

τόποις ἀναγκαζομένη ἐξομοιοῦσθαι, Τερηδόνος λόγον ἐπέχει, καὶ ξιφοειδὴς ἡ Φάλαγξ ὅλη γίνεται, καὶ πολυειδὴς τῇ τάξει.

Ἐπικαμπὴς δὲ, ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ, τὰ δὲ Κέρατα ἐκ τῶν ὀπίσω μερῶν, ὄρθιον ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα.

Ἐπαρμογὴ δὲ, ὅταν εἰς ὄγκους πλείονας διαλύηται ταγμάτων.

Κυρτὴ δὲ, καὶ Κοίλη, καὶ Ἐπικάμπιος λέγεται, ἡ εἰς τοὐπίσω, καὶ πρόσω ἢ τὸ στόμα κοῖλον ἔχουσα, ἢ κυρτὸν, ἢ ἐπικαμπές. Καὶ τοῦτο ὡς εἴρηται, ἢ εἰς τοὐπίσω, ἢ εἰς τὸ πρόσω, ὥστε τὰ εἴδη αὐτῶν γίνεσθαι, καὶ ἑκάστης τῶν τριῶν εἰς τοὐπίσω σχηματιζομένης, ἢ εἰς τὸ πρόσω.

Ὑπερφαλάγγισις λέγεται, ὅταν ἐξ ἑκατέρων μερῶν τῆς Φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

Ἐπτισμός ἐστιν, ὅταν τὸ βάθος τῆς Φάλαγγος συναιρεῖται, καὶ αἰτίας τυχὸν ἀνδρῶν ἐλάττους γένωνται.

Ὑπερκέρωσις δὲ, ὅταν ἐκ τοῦ ἑτέρου μέρους μόνον ὑπερέχωμεν τῶν πολεμίων.

ΤΕΛΟΣ.

πολέμιοι πανταχόθεν ἐπιτίθεσθαι ὑφορῶνται.

Ἀμφίστομος Φάλαγξ καλεῖται, ἡ τὰς ἡμισέας τῶν ἐν τοῖς λόχοις ἀνδρῶν ἀπεστραμμένους ἀπὸ σφῶν ἔχουσα ὡς ἀντινώτους εἶναι. Διφαλαγγία δὲ ἀμφίστομος, ἥτις ἐν τῇ πορείᾳ τοὺς Ἡγεμόνας ἔχει, ἐν παραγωγαῖς τεταγμένα ἐξ ἑκατέρων τῶν μερῶν, τοὺς δὲ Οὐραγοὺς ἔχουσα ἔξω ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους.

Ἑτερόστομος Φάλαγξ καλεῖται, ἥτις ἂν πορεύηται, τὸ μὲν ἡγούμενον ἥμισυ ἔχουσα ἐν εὐωνύμῳ παραγωγῇ, τουτέστι τοὺς ἡγεμόνας ἐξ εὐωνύμου, τοῦ δὲ λοιποῦ ἡμίσεως τοὺς ἡγεμόνας ἐν δεξιᾷ παραγωγῇ.

Κοιόστομος δὲ ἐν πορείᾳ Διφαλαγγία ἐστὶν, ἥτις τοὺς ἡγεμόνας ἑκατέρας τῆς φάλαγγος ἐκ τῶν αὐτῶν μερῶν ἔχει τεταγμένους, οἷον ἐκ δεξιῶν, ἢ ἐξ εὐωνύμων ἑκατέρας Φάλαγγος.

Ἐμβολὴ δὲ καλεῖται, ὅταν ἡ ἀμφίστομος Διφαλαγγία τὰ μὲν ἡγούμενα Κέρατα ἀλλήλοις συνάψῃ, τὰ δὲ ἑπόμενα διαστήσῃ.

Κοιλέμβολον δὲ καλεῖται, ἐπειδὰν ἡ ἀντίστομος Διφαλαγγία, τὰ μὲν ἑπόμενα κέρατα συνάψῃ, τὰ δὲ ἡγούμενα διαστήσῃ.

Πλαίσιον ὀνομάζεται, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλινθία δὲ, ἢ Πλινθίον λέγεται, ὅταν τετραγώνῳ σχήματι ταὐτὸ τοῦτο πράξῃ. ὅπερ Ξενοφῶν ὁ τοῦ Γρύλλου διπλάσιον ἰσόπλευρον καλεῖ.

Πεπλεγμένη Φάλαγξ ἐστὶν, ἥτις τοῖς ὑποπίπτουσι

τόποις

ὑποςολῆς ἔχουσα. Δεξιὰ μὲν, ἡ τὸ δεξιὸν προβεβλημένη· Λαιὰ δὲ ἡ τὸ λαιόν.

Παρεμβολὴ λέγεται, ἐπειδὰν προτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαςήματα ἐκ τῶν ἐπιτεταγμένων καθιςῶνται αὐτοῖς ἐπ' εὐθείας.

Πρόταξις δὲ, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἑκατέρου κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι ςῖφος τῇ πάσῃ Φάλαγγι, κατ' εὐθὺ τοῦ μετώπου τῆς τάξεως.

Ἔνταξις δὲ, ἐπειδ' ἄν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαςήματα τῆς Φάλαγγος ἐντάσσειν ἄνδρα παρ' ἄνδρα. Ἔνιοι δὲ τοῦτο καὶ Παρένταξιν ὀνομάζουσιν.

Ἐπαγωγὴ λέγεται, ὅταν τάγματα τάγματι ὑποτάσσηται, οἷον τετραρχίας ἡγουμένης, αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσονται ἢ ξεναγίας ἡγουμένης, αἱ λοιπαὶ ξεναγίαι ἐπακολουθῶσι. Καὶ καθόλου ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται, ὥστε τοῖς τοῦ προειρημένου συντάγματος Οὐραγοῖς, τοὺς τοῦ ἑξῆς τάγματος Ἡγεμόνας συνάπτειν.

Παραγωγὴ λέγεται, ὅταν ἡ Φάλαγξ πορεύηται, τοὺς ἡγεμόνας ἐκ τῶν εὐωνύμων ἔχουσα, ἢ ἐκ τῶν δεξιῶν. καὶ μὲν ἐκ τῶν δεξιῶν μερῶν ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται. ἐὰν δὲ ἐκ τῶν εὐωνύμων, δεξιὰ παραγωγή. Εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται, εἴτε περὶ τῷ ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδίεται. Μονοπλεύρῳ μὲν, ὅταν μονοχόθεν φοβηθῇ. Διπλεύρῳ δὲ, ὅταν διχόθεν. Τριπλεύρῳ δὲ, ὅταν τριχόθεν. καὶ Τετραπλεύρῳ, ὅταν οἱ πο-

μὸν αὐτ῀. Γίνεται δὲ ἑκάτερον διχῶς, ἢ κατὰ λόχον, ἢ ζυγά. Ταυτ᾽ δ᾽ εἰπεῖν κατὰ μῆκος καὶ κατὰ βάθος. Κατὰ μῆκος μὲν ἂν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τ῀ προϋπαρχόντων λόχων παραβάλλωμεν, ἢ παρεμπλέκωμεν ἄλλους αὐτοῖς ἀριθμοὺς, τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τ῀ φάλαγγος, ὥστε πύκνωσιν γενέσθαι, μόνον ἐκ τ῀ τ῀ ἀνδρῶν διπλασιάσεως. Κατὰ βάθος δὲ ὅταν μεταξὺ τ῀ προϋπαρχόντων ζυγῶν παρεμβάλλωμεν, ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα, ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνην, κατὰ μῆκος δὲ τόπου. Ὁ δὲ διπλασιασμὸς, ὅταν τ῀ προειρημένην κατὰ μῆκος πύκνωσιν, μανότητι μετατάττωμεν, ἢ παρενθέντες ἐξελίξωσι κατὰ μῆκος κατα βάθος δὲ γίνεται τόπου διπλασιασμὸς, ὅταν τ῀ προειρημένην κατὰ βάθος πύκνωσιν μετατάττωμεν μανότητι, ἢ οἱ παρενθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοὺς τοιούτους διπλασιασμοὺς ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τ῀ πολεμίων. Ἐφ᾽ ἑκάτερα δὲ τ῀ κεράτων τοὺς ψιλοὺς καὶ τοὺς ἱππέας ἐπεκτείνοντες, τὴν ὄψιν τ῀ διπλασιασμοῦ, χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασι.

Πλαγία λέγεται φάλαγξ, ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον. Ὀρθία δὲ λέγεται, ὅταν ἐπὶ κέρατος πορεύηται, πολλαπλάσιον ἔχουσα τὸ βάθος τοῦ μήκους. Καθόλου δὲ παρὰ μῆκος μὲν λέγεται πᾶν τάγμα, ὃ ἂν τὸ μῆκος ἔχῃ πλέον τοῦ βάθους.

Λοξὴ λέγεται φάλαγξ, ἡ τὸ μὲν ἕτερον κέρας ὁπότερον ἂν προείρηται πλησίον τῶν πολεμίων ἔχουσα, καὶ ἐν αὐτῷ τ῀ ἀγῶνα ποιουμένη· τὸ δὲ ἕτερον ἐν ἀποστάσει δὲ

ὑπο-

ϛροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπων. Ἐκπερισπασμὸς δέ ἐστιν, ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίνεται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν· ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν. Εἰς ὀρθὸν δέ ἐστιν ἀποδοῦναι, τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταστῆσαι ἄνδρα ἕκαστον, ὥστε εἰ ἐπὶ δόρυ κλίνειν ἐκ τῶν πολεμίων κελεύοιντο· εἶτ' αὖθις εἰς ὀρθὸν ἀποδοῦναι δεήσει, ἐπὶ τοὺς πολεμίους πάλιν τρέπεσθαι. Καλεῖ δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν ἀποκαταστῆσαι.

Ἐξελιγμῶν διτταί εἰσιν ἰδέαι. ἡ μὲν κατὰ λόχους, ἡ δὲ κατὰ ζυγά. εἴδη δὲ ἀνὰ ἑκάτερον αὐτῶν β'. καλεῖται γὰρ ὁ μὲν μακεδών, ὁ δὲ Χορεῖος, ὃν καὶ Κρητικὸν καὶ περσικὸν καλοῦσι. τούτων δὲ μακεδὼν ἐξελιγμός ἐστιν, ὁ κατὰ λόχους ὁ μεταλαμβάνων τῆς Φάλαγγος τὸν ἔμπροσθεν τόπον. ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἐπιφανείας, τὴν ὄπισθεν. Χορεῖος, δὲ ὁ τὸν αὐτὸν ἐπέχων τόπον τῆς Φάλαγγος τῶν ὁπλιτῶν κατὰ μέρος. αὖθ' ὧν προκατεῖχον τόπον ἑτέρους μεταλαμβανόντων, τοῦ μὲν λοχαγοῦ, τὸν τοῦ οὐραγοῦ· τοῦ δὲ οὐραγοῦ, τὸν τοῦ λοχαγοῦ· ἀντὶ δὲ τῆς κατὰ πρόσωπον ἔμπροσθεν ἐπιφανείας, τὴν ὄπισθεν. Οἱ δὲ δὴ κατὰ ζυγὰ ἐξελιγμοὶ γίνονται, ἐπεὶ δ' αὖ ἀπὸ τῶν ἀποτομῶν βούληταί τις τὰ κέρατα καθιστάναι· τὰς δὲ ἀποτομὰς ἐπὶ τῶν κεράτων, χάριν τοῦ τὰ μέσα ἰσχυροποιεῖν καὶ ὁμοίως τὰ δεξιὰ ἐν τοῖς εὐωνύμοις, καὶ τὰ εὐώνυμα ἐν τοῖς δεξιοῖς.

Διπλασιάσαι διχῶς λέγεται, ἢ γὰρ τόπον ἐν ᾧ ἡ Φάλαγξ, μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν

εἰκοσιτεσσάρων.

Τέλος, δύο ἐφιππαρχίαι, ἱππέων διχιλίων τεσσαράκοντα ὀκτώ.

Ἐπίταγμα, β΄. τέλη, ἱππέων τετρακισχιλίων λϛ΄.

Κλίσις, ἡ κατὰ ἄνδρα κίνησις.

Κλῖσις ἐπὶ δόρυ ἐστὶν, ἡ ἐπὶ τὰ δεξιὰ κλίσις. ἐπανάκλισις δὲ, ἡ ἐπὶ τὰ ἀριστερὰ κλίσις.

Ἐπ' ἀσπίδα κλίσις ἐστὶν, ἡ ἐπὶ τὰ ἀριστερὰ ὁμοίως.

Μεταβολή ἐστιν, ἡ δὶς ἐπὶ τὸ αὐτὸ γινομένη κλίσις κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατεθεῖσα. τῆς δύο διαφοραί. ἡ μὲν ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ὀνομάζουσιν. ἡ δὲ ἐπὶ τοὺς πολεμίους, ἀπ' οὐρᾶς καλουμένη. ἔνιοι δὲ οὕτω καὶ αὐτὴν ὑπογράφουσιν.

Μεταβολή ἐστι μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας, εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν, ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. Καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ, δὶς ἐπὶ δόρυ κλιναίτων γίνεται. ἡ δὲ ἐπὶ τοὺς πολεμίους, δὶς ἐπ' ἀσπίδα.

Ἐπιστροφή ἐστιν, ἐπειδ' ἂν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παραστάτην καὶ ἐπιστάτην, καθάπερ ἑνὸς ἀνδρὸς σῶμα ἐπὶ δόρυ, ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν. καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ, παντὸς τοῦ τάγματος περὶ ἐνεχθέντος καὶ μεταλαβόντος τόπον μετὰ τῶν ἔμπροσθεν, ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν διαμενόντων ἑκάστῳ τῶν παραστατῶν, καὶ τῶν ἐπιστατῶν.

Ἀναστροφή ἐστιν, ἡ ἀποκατάστασις τῆς ἐπιστροφῆς, εἰς τὴν προτέραν χώραν. Περισπασμὸς δέ ἐστιν, ἡ ἐκ δυοῖν ἐπιστροφῶν

παρὰ ψιλὰς. Παρένταξις δὲ, ἡ τῶν ἀνομοίων, οἷον ὁπλιτῶν παρὰ ψιλὰς, ἢ ψιλῶν παρ' ὁπλίτας.

Λόχος, ἀνδρῶν ὀκτώ.

Σύστασις, τέσσαρες λόχοι, ἀνδρῶν λβ'.

Πεντηκονταρχία, β' συστάσεων, ἀνδρῶν ἑξήκοντα τεσσάρων.

Ἑκατονταρχία, β' Πεντηκονταρχίαι, ἀνδρῶν, ρκη'. ἑκάστη δὲ Ἑκατονταρχία ἐκτάκτους ἔχει πέντε.

Ψιλαγία, β' Ἑκατονταρχίαι, ἀνδρῶν διακοσίων πεντηκονταέξ.

Ξεναγίαι, β' Ψιλαγίαι, ἀνδρῶν, φιβ'.

Σύστρεμμα, β'. Ξεναγίαι, ἀνδρῶν χιλίων, κδ'.

Ἐπιξεναγία, δύο συστρέμματα, ἀνδρῶν δισχιλίων μη'.

Στίφος, δύο ἐπιξεναγίαι, ἀνδρῶν τετρακισχιλίων λς'.

Ἐπίταγμα, δύο στίφη, ἀνδρῶν ὀκτακισχιλίων, ρλβ'. τούτου ἔκτακτοι ἀνδρῶν η'. ἐπιξεναγοὶ μὲν δύο, συστρεμματάρχαι δὲ οἱ λοιποί.

Ἔμβολον παρατάξεως ὄνομα τοιᾶσδε. ἔστι δὲ τὸ ἥμισυ τοῦ ῥόμβου τοιοῦδε ὄντος.

Ῥομβοειδὲς παράταξις ὀνομάζεται ἢ σφηνοειδής.

Ἴλη ἱππέων ἐστὶν ἑξηκοντατεσσάρων.

Ἐπιλαρχία β' ἶλαι, ἱππέων ρκη'.

Ταραντιναρχία, β' ἐπιλαρχίαι, ἱππέων διακοσίων πεντηκονταέξ.

Ἱππαρχία, β' ταραντιναρχίαι ἱππέων πεντακοσίων δώδεκα.

Ἐφιππαρχία, β' Ἱππαρχίαι, ἱππέων χιλίων

εἰκο-

Ἱππεῖς, καὶ Ἱππικὸν. τὸ δὲ Ἄμφιππον. καὶ Ἄμφιπποι μὲν οἱ ἐπὶ δυοῖν ἀστρώτοιν ἵπποιν συνδεδεμένοιν ὀχούμενοι, οἳ καὶ μεταπηδῶσιν ἀπ' ἄλλου ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. Τοῦ δὲ κυρίως Ἱππικοῦ τὸ μέν ἐστιν κατάφρακτον, ὃ καὶ τοὺς ἵππους, καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται, τὸ δὲ ἀκατάφρακτον. Τούτων δὲ, οἱ μὲν θυρεοὺς ἔχοντες, Θυρεοφόροι καλοῦνται· οἱ δὲ ἁπλῶς Δορατοφόροι. Αὐτῶν δὲ, οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται, καὶ καλοῦνται Ἱππαγωνισταὶ, καὶ Ταραντῖνοι. οἱ δὲ τόξοις, οἳ λέγονται Ἱπποτοξόται· Ἔτι δὲ οἱ μὲν Δορατοφόροι, οἱ δὲ Κοντοφόροι, ἢ ξυστοφόροι καλοῦνται γὰρ τοῖς τρισὶν ὀνόμασιν. οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον πολεμίοις δόρασι μαχόμενοι. Οἱ δὲ Ἀκροβολισταὶ, οἷον πόρρωθεν βάλλοντες. Ἔτι τῆς Ἱππικῆς δυνάμεως Κατάφρακτοι, Ἱππακοντισταὶ, Ἐλαφροὶ, Θυρεοφόροι, οἱ καὶ Ταραντῖνοι, Ἱπποτοξόται.

Πύκνωσις κατὰ παραστάτην καὶ ἐπιστάτην, τοῦτ' ἔστι πύκνωσις κατὰ μῆκος καὶ βάθος. Κατέχει δὲ ὁ πεπυκνωμένος ἀνὴρ, πήχεις β΄ ὁ δὲ ἁπλῶς τεταγμένος, πήχεις δ΄.

Συνασπισμὸς, ὅταν ἕκαστος ἀνὴρ τῶν ἐν τῇ Φάλαγγι κατέχῃ πῆχυν ἕνα. τοῦτο καλεῖται Συνασπισμός.

Πρόταξις ψιλῶν, ὅτε τῶν ἄλλων ἤτοι ἐν πολέμῳ προτάττονται. ὑπόταξις δὲ, ὅτε ὑποτάττονται. Προσένταξις δὲ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ Φάλαγγι, παρ' ἄνδρα τάττονται. λέγεται δὲ καὶ Παρένταξις τοῦτο.

Παρεμβολὴ Παρεντάξεως διαφέρει. ἡ μὲν γάρ ἐστι τῶν ὁμοίων παρένθεσις, οἷον ὁπλιτῶν παρ' ὁπλίτας, ἢ ψιλῶν

παρὰ

νον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον, καὶ μέτωπον, καὶ στόμα, καὶ παράταξις, καὶ πρωτολοχία, καὶ πρωτοστάται. Ὁ δὲ κατόπιν τούτου στίχος καὶ παράλληλος κείμενος, δεύτερον ζυγὸν καλεῖται· καὶ ὁ τρίτος τρίτον ζυγὸν, καὶ ἑξῆς ὁμοίως.

Βάθος ἐστὶ Φάλαγγος τὸ μετὰ τὸ μέτωπον ἅπαν. Καὶ ὁ ἀπὸ λοχαγοῦ ἐπὶ οὐραγὸν στίχος, κατὰ βάθος λέγεται.

Ζυγεῖν ἐστι, τὸ ἐπ' εὐθείας τῷ κατὰ μῆκος στίχῳ κεῖσθαι, ἤτοι παραλλήλως ἔχειν.

Στιχεῖν ἐστι τὸ ἐπ' εὐθείας κεῖσθαι τῷ κατὰ βάθος στίχῳ· τοῦτο γὰρ καὶ κυρίως στίχος λέγεται.

Διχοτομία Φάλαγγος, ἡ εἰς β' ἴσα τομή. ταῦτα δὲ τὰ μέρη καλεῖται κέρατα, ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται καὶ οὐρά· τὸ δὲ λοιπὸν δεξιὸν, καὶ κεφαλὴ, καὶ δεξιὸν ἀκρωτήριον, καὶ δεξιὰ ἀρχή.

Ἄραρος, καὶ ὀμφαλὸς, καὶ συνοχὴ, πρᾶγμα ὥς ἔνιοι, καὶ στόμα ὡς ἕτεροι, ἡ διχοτομία καλεῖται.

Ὁπλῖται, Πελτασταὶ, Ψιλοὶ, τῆς πεζικῆς εἰσι καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφορὰν. Ὁπλῖται μὲν γὰρ λέγονται, οἱ βαρυτάτῃ κεχρημένοι ὁπλίσει, κατὰ τὸν μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι, καὶ δόρατι περιμηκεστέροις. ψιλοὶ δὲ οἱ κουφοτάτῃ. κέχρηνται γὰρ τόξῳ, καὶ ἀκοντίοις, καὶ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελτασταὶ μέσηπως κέχρηνται σκευῇ. ἡ γὰρ πέλτη μικρά τις ἐστὶν ἀσπιδίσκη, καὶ κούφη, καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λιπόμενα. Εἰσὶ δὲ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γὰρ ἐστιν ἱππικὴ, ἡ δὲ δι' ἁρμάτων, ἡ δὲ δι' Ἐλεφάντων. Τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται,

ϛρατοκήρυξ, Σαλπιγκτὴς, Σημειοφόρος, ὑπηρέτης, οὐραγός. Νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται, καὶ τῶν ἄλλων. Ἔχειν δὲ δεῖ τούτους τὴν τάξιν, ἢ τὸ σύνταγμα, τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ τὸ πραττόμενον, τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον. τὸν δὲ Σαλπιγκτὴν, ὁπότε μηδὲ σημεῖα βλέποιεν διὰ κονιορτόν. καὶ τὸν Ὑπηρέτην ὥστε τι τῶν εἰς τὴν χρείαν παρακομίσαι. τόνγε μὴν ἔκτακτον Οὐραγὸν, πρὸς τὸ ἐπανάγειν τὸ ἀπολειπόμενον ἐπὶ τὴν τάξιν, ὡς τῶν δ' ἄνω τυπουμένων κατὰ μέτωπον κάτω τάσσεται.

Ξεναγία, αἱ β΄. πεντακοσιαρχίαι, ἀνδρῶν, ακδ΄. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος Χιλιαρχίαν καλοῦσι, καὶ Χιλίαρχον τὸν ἡγούμενον.

Τεξαρχίαι, αἱ β΄ χιλιαρχίαι, ἀνδρῶν, βμη. οἱ καὶ τέλος ὀνομάζουσι. καὶ τὸν ἡγούμενον Τετράρχην, οἱ δὲ Τελευτάρχην.

Φαλαγγαρχίαι, αἱ β΄ κεραρχίαι, ἀνδρῶν, δλς΄. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν, οἱ δὲ μέρος. Πάλαι δὲ καὶ ϛρατηγία ἐκαλεῖτο, καὶ ὁ ἡγούμενος Στρατηγὸς, νῦν δὲ Φαλαγγάρχης.

Διφαλαγγίαι, αἱ β΄ φαλαγγαρχίαι, ἄνδρες ηρϛβ. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται, ἀλλὰ καὶ κέρας. καὶ ὁ ἡγούμενος Κεράρχης.

Φάλαγξ. ἡ τετραφαλαγγαρχία, αἱ β΄ φάλαγγες, ἄνδρες ις΄. χιλιάδες, καὶ τπδ. τοῦτο γὰρ ἡ τελεία καὶ σύμμετρος φάλαγξ.

Μῆκος ἐστὶ φάλαγγος τὸ ἀπὸ ἐκ τῶν λόχων σύνταγμα, ὃ μίαν εὐθεῖαν τάσσεται ἀπὸ κέρατος εἰς κέρας διατεῖ-

νον

τὴν Ἐνωμοτίαν, οἱ δὲ τὸ δʹ.

Ἐνωμοτάρχης, ὁ τῆς ἐνωμοτίας ἄρχων.

Διμοιρίαν, καὶ Ἡμιλοχίαν τὸ αὐτό φασι.

Διμοιρίτης καὶ Ἡμιλοχίτης, ὁ ἄρχων τοῦ Ἡμιλόχου, καὶ τῆς διμοίρου.

Ἐπιστάτης ὁ τοῦ λόχου ὀπίσω τεταγμένος, ὁ δὲ μετ' αὐτὸν Πρωτοστάτης· ὁ δὲ μετὰ τοῦτον πάλιν Ἐπιστάτης· ὡς εἶναι τὸν ὅλον στίχον ἐκ Πρωτοστατῶν καὶ Ἐπιστατῶν συγκείμενον. Ἔνιοι δὲ λοχαγὸν μὲν τὸν Πρωτοστάτην λέγουσιν, ὥσπερ καὶ οὗτοι, καὶ Οὐραγὸν τὸν Ἐπιστάτην. Τοὺς ἐν μέσῳ δὲ οὐχ ὡσαύτως, ἀλλ' ἐπιστάτην μὲν τὸν μετὰ τὸν πρωτοστάτην, ἤτοι βʹ. τὸν δὲ γʹ, ἀπὸ τοῦ Πρωτοστάτου Ὑποστάτην.

Συλλοχισμός ἐστιν, ὅταν τῷ αʹ λόχῳ ἕτερος λόχος ἐπιτεθῇ, ὥστε λοχαγὸν λοχαγῷ, καὶ οὐραγὸν οὐραγῷ, καὶ τοὺς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Παραστάται, οἱ ὁμόλοχοι ἀνδρῶν ξδʹ. καὶ ὁ ἡγούμενος Τετράρχης.

Τάξεις αἱ δύο τετραρχίαι, ἀνδρῶν ρκη. καὶ ὁ ἡγούμενος πάλαι μὲν Ταξίαρχος, νῦν δὲ Ἑκατοντάρχης.

Σύνταγμα, ὃ ἔνιοι Παράταξιν, αἱ βʹ. τάξεις, ἄνδρες σνςʹ. καὶ ὁ ἡγούμενος Συνταγματάρχης. Τοῦτο δὲ ἔνιοι καὶ Ξεναγίαν καλοῦσι, καὶ Ξεναγὸν τὸν ἡγούμενον.

Πεντακοσιαρχία τὰ βʹ. τάγματα, ἄνδρες φιβ. καὶ ὁ ἡγούμενος Πεντακοσιάρχης.

Ἔκτακτοι, τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν ὡς καὶ τοὔνομα δηλοῖ, διότι τάξεως ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ εʹ,

Στρα-

## Ω

Ὥρα δασέως τοῦ ἔτους, καὶ τῆς ἡμέρας. ψιλῶς δὲ ἡ φροντίς.

„ Ὠνήσασθαι καὶ Ἀγοράσαι διαφέρει. Ὠνήσασθαι μὲν γάρ ἐστι τὸ πρίασθαί τι τῶν πωλουμένων. Ἀγοράσαι δὲ ἐστὶ τὸ ἐν ἀγορᾷ διατρίψαι.

, Ὠτειλὴ καὶ Οὐλὴ διαφέρει. Ὠτειλὴ μὲν γάρ ἐστι τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. Οὐλὴ δὲ ἡ Ὑγιασμένη σὰρξ ἐκ τραύματος παλαιοῦ. ὡς Ὅμηρος,

Οὐλὴν τὴν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.

# ΤΑ'ΞΙΣ ΠΑΛΑΙΑ',
## καὶ Ὀνομασίαι τῶν Ἀρχόντων.

Κἀταλοχίσαι ἐστὶ τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Λόχος ἔνιοι μὲν τὸ σύστημα τὸ ἐξ ἀνδρῶν, η. οἱ δὲ τὸ ἐξ ἀνδρῶν, ιβ΄. οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειόν φασιν καὶ σύμμετρον.

Λοχαγωγὸς, Πρωτοστάτης, καὶ Ἡγεμὼν, ὁ αὐτός ἐστιν. ἐστὶ μὲν ὁ α, καὶ ἄριστος τοῦ λόχου.
οὐραγὸς ὁ τελευταῖος τοῦ λόχου.

Στίχος, καὶ Δεκανία, καὶ Λόχος, τὸ αὐτό ἐστιν. οἱ δὲ καὶ Ἐνωμοτίαν αὐτὸ καλοῦσιν. οἱ δὲ τὸ ς΄. λέγουσι τοῦ λόχου

τὴν

Χοᾶς δὲ περισπωμένως ἐπὶ μέτρου τοῦ οἴνου.

„ Χορήγιον καὶ Χορηγὸς διαφέρει. Χορήγιον μὲν τὸ διδασκαλεῖον, καὶ Χορηγὸς ὁ διδάσκαλος. Χορὸς δὲ τὸ σύστημα τῶν παίδων καὶ τῶν ᾀδόντων.

„ Χολάδες καὶ Χόλικες διαφέρει. Χολάδες μὲν γὰρ τὰ ἔντερα·

Χῦντο χαμμαὶ χολάδες.

Χόλικες δ' αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις· ἢ βοιδαρίων τις ἀπέκτεινε ζεῦγος, χολίκων ἐπιθυμῶν.

„ Χρήστας καὶ δανιστὰς λεκτέον, καὶ τοὺς χρεοφειλέτας.

„ Χρηστήριον ὁ τόπος, καὶ ὁ Χρησμὸς, καὶ τὸ ἱερόν.

„ Χύτραι καὶ Χυτρεῖα διαφέρει. Χύτραι μὲν γὰρ καὶ αὐτὰ τὰ σκεύη, καὶ τὰ χυτροπωλεῖα. Χυτρεῖα δὲ, τὰ τῶν χυτρῶν ὄστρακα.

Ψ

Ψάλλιον καὶ Ψέλλιον διαφέρει. Ψάλλιον μὲν τὸ τοῦ ἵππου. Ψέλλιον δὲ τὸ ἄκροις βραχίοσι περιτιθέμενον κόσμιον. οἱ Δωριεῖς ψέλλιον καλοῦσι τὸ ἄκρον. ὅθεν καὶ ἡμεῖς τὴν ἐπ' ἄκρων χειλέων λεγομένην προσῳδίαν, ψιλὴν ἐκαλέσαμεν, ὥς φησι Τρύφων.

„ Ψάμαθος καὶ Ἄμαθος διαφέρει. Ψάμαθος μὲν γὰρ τὴν παραθαλάσσιαν ἄμμον.

Ἐπὶ ψαμάθοις ἁλίῃσιν.

Ἄμαθον δὲ τὴν κόνιν.

Τύχε γὰρ ἀμάθοιο βαθείας.

„ Χλαῖναν καὶ Χλανίδα διαφέρειν φησὶ Τρύφων ἐν τῷ πέμπτῳ περὶ Ἑλληνισμοῦ. καὶ παρατίθεται Ξενοφῶντα. Χλαίνας μὲν γάρ φησι λέγεσθαι ἐπὶ τῶν ἐγκοιμήτρων καὶ παχέων· διὸ καὶ Ὅμηρον φάναι· Ἔνθάδε τ' ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνήν. Δέμνια, καὶ χλαίνας, καὶ ῥήγεα σιγαλόεντα. Χλανίδας δὲ τὰς φορουμένας καὶ μαλακωτέρας. ἀντιπίπτει τῷ παρατηρήματι,

Χλαῖναν πορφυρέην αὐτ' ὀφθαλμοῖσιν ἐπιχών.

Μήποτε οὖν ἄμεινον λέγειν, τὰς μὲν Χλαίνας ἐπὶ τῶν ἐγκοιμήτρων, καὶ φορουμένων· Χλανίδας δὲ, ἐπὶ μόνων τῶν φορουμένων, οὐκέτι δὲ ἐπὶ τῶν ἐγκοιμήτρων.

„ Χλαμὺς καὶ Χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος ἐν ὑπομνήματι δευτέρῳ Ἰλιάδος. ἡ μὲν Χλαῖνα ἡρωϊκὸν φόρημα. Χλαμὺς δὲ μακεδονικὸν, μετὰ ἑξακόσια ἔτη τῶν ἡρωϊκῶν ὀνομασθεῖσα. Σαπφὼ (αὕτη γὰρ μέμνηται τῆς χλαμύδος) διαφέρειν φησὶ καὶ τῷ σχήματι. ἡ μὲν γὰρ Χλαῖνα τετράγωνον φησὶν ἱμάτιον· ἡ δὲ Χλαμὺς εἰς τέλειον περὶ τὰ κάτω συνῆκται, καὶ τοὺς χρησαμένους πολὺ καὶ ἀπ' ἀλλήλων διεστάναι. προσάγεται Ἀριστοτέλην, Φίλαρχον, Πολέμωνα, ὅτι πολὺ διαφέρουσι.

„ Χιτώνιον καὶ Χιτωνίσκος διαφέρει. Χιτωνίσκος μὲν γὰρ ὁ τοῦ ἀνδρὸς χιτών. Χιτώνιον δὲ τὸ τῆς γυναικὸς ἔνδυμα.

„ Χόας συνεσταλμένως τὴν ἑορτήν. Ἀριστοφάνης Ἀχαρνεῦσιν· Ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τὰς χόας.

Χοᾶς

παρ' Ἀθηναίοις, ἀπὸ τῆς αρ φωνῆς, παρ' ἡμῖν δ' ὑλακτεῖν λέγεται.

„ Φωλεὸς καὶ Κοίτη διαφέρει. Φωλεὸς μὲν γὰρ ἐπὶ τῶν ἑρπετῶν τάσσεται. Κοίτη δὲ ἐπὶ ἀνθρώπων. ὥστε ἐπὶ μὲν τῶν ἑρπετῶν ῥητέον τὸ φωλεύειν· ἐπὶ δὲ ἀνθρώπων τὸ κοιτάζειν· ἐπὶ δὲ τῶν ὀρνέων τὸ νοσσεύειν. Οἱ γοῦν λέγοντες νοσσιὰν τῶν τέκνων, ἀκυρολογεῖ. Τέκνα μὲν γὰρ ἀνθρώπων, νεοσσοὶ δ' ὀρνίθων, νεβροὶ δὲ ἐλάφων, σκύμνοι δὲ λεόντων, σκύλακες δὲ κυνῶν.

## X

Χάραξ θηλυκῶς μὲν ἐπὶ τῶν τῇ ἀμπέλῳ παραδεσμευμένων· ἀρσενικῶς δὲ ἐπὶ τῶν ἐν τοῖς πολέμοις περιπηγνυμένων. ἀφ' ὧν λέγουσι χαρακώσαντες, ἀντὶ τοῦ περιφράξαντες. καὶ χαρακώματα τὰ περιφράγματα.

„ Χαρὰ, καὶ Εὐφροσύνη, καὶ Τέρψις, καὶ Εὐθυμία, καὶ Ἡδονὴ, καὶ Ἀπόλαυσις διαφέρουσι. Χαρὰ μὲν γάρ ἐστι πρόσφατος ψυχῆς ἔπαρσις καὶ διάχυσις. Εὐφροσύνη δὲ πάθος χρονίου μετὰ σωφροσύνης γινόμενον. Τέρψις δὲ οἱονεὶ τρέψις καὶ ψυχαγωγία, ἀπὸ τοῦ ἀνδροῦς ἐπὶ τὸ κρεῖσσον. Εὐθυμία δὲ βραχεῖα ψυχῆς χαρά. Ἡδονὴ δὲ ἐκ ψυχῆς ἀρεσία. Ἀπόλαυσις δὲ ἕξις κοινῶς ἐπὶ πάσης μεταλήψεως τασσομένη ἀγαθῆς τε καὶ φαύλης.

„ Χειμάζειν οὐ μόνον τὸ παραχειμάζειν, ἀλλὰ καὶ τὸ ἐνοχλεῖν. ὡς Μένανδρος ἐν Ἡνιόχῳ.

τες. Ἑταῖροι δὲ ἰδίως οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, οἱ καὶ ἐν τῇ συνηθείᾳ, καὶ ἐν τῇ συνεργείᾳ πολὺν χρόνον γεγονότες.

„ Φόρος καὶ Φορὸς διαφέρει. Φόρος μὲν γὰρ λέγεται ὁ φέρων, οὕτω καὶ φόρος ἡ ἀναίρεσις. Φορὸς δὲ ὁ τόπος τῆς ἀναιρέσεως, καὶ φορὸς ὁ φερόμενος.

„ Φράσον καὶ Φράσαι διαφέρει. Φράσον μὲν γάρ ἐστι τὸ εἰπέ. Φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι.

Σὺ δὲ φράσαι εἴ με σαώσεις.

„ Φριμάττεσθαι καὶ Φρυάττεσθαι διαφέρει. Φριμάττεσθαι μὲν γὰρ τὸν τράγον φαμέν. καὶ Φριμαγμὸς ἡ τοῦ τράγου φωνή, ὥσπερ φρυμαγμός. Φρυάττεσθαι δὲ τὸν ἵππον τὸν φυσῶντα καὶ γαυρώμενον.

„ Φρονεῖν τοῦ Καταφρονεῖν διαφέρει. Φρονεῖν μὲν γάρ ἐστι τὸ λογίζεσθαί τι καὶ ἐνθυμεῖσθαι. Καταφρονεῖν δὲ τὸ εὐτελίζειν καὶ ὑπερορᾶν.

„ Φερνὴ μὲν ἡ προίξ. Φέρνιον δὲ τὸ ἁλιευτικὸν ἀγγείδιον.

„ Φύλλον καὶ Φῦλον διαφέρει. Φύλλον μὲν γὰρ τὸ πέταλον δένδρου. Φῦλον δὲ τὸ γένος.

„ Φωνεῖν καὶ Ὠρύεσθαι διαφέρει. Φωνεῖν γὰρ μὲν ἐπὶ ἀνθρώπων λέγεται, Ὠρύεσθαι δὲ ἐπὶ λύκων. παρατηρητέον δὲ ἐπὶ τῶν λοιπῶν τὸ οἰκεῖον ἑκάστῳ· ὅτι Βληχᾶσθαι μὲν γὰρ λέγεται ἐπὶ τῶν Προβάτων. Μηκᾶσθαι δὲ ἐπὶ τῶν Αἰγῶν, διὰ τοῦ η. Μυκᾶσθαι δὲ ἐπὶ τῶν Βοῶν, διὰ τοῦ υ. Βρωμᾶσθαι ἐπὶ Ὄνων. Βρυχᾶσθαι δὲ ἐπὶ λεόντων. Χρεμετίζειν δὲ ἐπὶ ἵππων. Ἀρασείζειν δὲ ἐπὶ κυνῶν

ἐστιν ἱματιοφορία. Φασκώλιον δὲ ἐστι δερμάρτιον.

„ Φαρμακεία Γοητείας διαφέρει. Φαρμακεία μὲν γὰρ κυρίως ἡ βλάβη, ἡ διὰ δυκτηρίου τινὸς γενομένη φαρμάκου. Γοητεία δὲ ἡ ὑπὸ ἐπικλήσεώς τε, καὶ ἐπαοιδῆς φαρμακεύς. Φαρμακὸς δὲ ὀξυτόνως, ὁ ἐπὶ καθάρσει τῆς πόλεως ῥιπτόμενος.

„ Φάσμα μὲν ἐστι τὸ ὅμοιον ἀληθείᾳ. Φάντασμα δὲ τὸ ἑτερόμορφον. Εἴδωλον δὲ τὸ ὅμοιον τῇ σκιᾷ. Τέρας δὲ ἐναργὲς σῶμα ἑτερόμορφον. Βρέτας δὲ τὸ ξόανον.

„ Φάγαινα μὲν λέγεται ἡ κατὰ τὰς νόσους πολυφαγία. Φαγέδαινα δὲ φῦμα ἀνήκεστον.

„ Φεύγει καὶ Ἀποφεύγει διαφέρει. Φεύγει μὲν γὰρ δίκην ὁ κατηγορούμενος. καὶ γὰρ ὁ κατηγορῶν διώκει. Ἀποφεύγει δὲ ὁ νικήσας, καὶ λυθεὶς τῆς κατηγορίας.

„ Φθίοι καὶ Φθιῶται διαφέρουσι. Φθίοι μὲν γὰρ οἱ ὑπὸ τῷ Προτεσιλάῳ. φησὶ γοῦν Ὅμηρος,

Πρὸ Φθίωντε μέδονται.

οἷον δ' οὐκ ἀπὸ πόλεως, οὐδ' ἀπὸ χώρας, ἀλλ' ἀπ' ἀνδρὸς φθίου. Φθιῶται δὲ οἱ ὑπὸ τῷ Ἀχιλλεῖ ἀπὸ πόλεως Θεσσαλικῆς Φθίας, καὶ χώρας ὁμωνύμου.

Φθίην δ' ἐξικόμην ἐριβώλακα.

Ἠγνόησεν οὖν Καλλίμαχος εἰπών·

Οὐκέτι τὴν Φθίων εἶχεν ἀνακτορίην.

„ Φιλεῖν καὶ Κυεῖν διαφέρει. ὅτι τὸ μὲν Κυεῖν τὸ τοῖς χείλεσιν ἀσπάζεσθαι. Φιλεῖν δὲ τὸ ἀγαπᾶν καὶ ξενίζειν.

„ Φίλος καὶ Ἑταῖρος διαφέρει. Φίλοι μὲν γὰρ κοινῶς ἅπαντες οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες.

ἐστι καλοῦ τίς ὑπόνοια. Ὑφόρασις δὲ, δόξα ἐπὶ τὸ χεῖρον.

„ Ὑπάρξαι τὸ, τοῦ γενέσθαι, καὶ τὸ κατάρξασθαι.

„ Ὑπάγειν καὶ Πορεύεσθαι διαφέρει. ὅτι τὸ Πορεύεσθαι μὲν ἐστι τὸ βαδίζειν. Ὑπάγειν δὲ τὸ ὑπὸ ζυγὸν ἄγειν βοῦς, ἢ ἵππους, ἤ τι τῶν τοιούτων, ὡς Ὅμηρος,

Ὕπαγε ζυγὸν ὠκέας ἵππους.

Οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν, ὅτι Ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. ὥσπερ ὑφηγητὴν, ἀντὶ τοῦ προηγητήν. καὶ ὑπογραμμὸν ἀντὶ τοῦ προγραμμόν. ὡς φησι καὶ Ἀριστοφάνης,

Ἐγὼ δὲ ὑπαίρω τὸν ὅρκον. ἀντὶ τοῦ προαίρω.

οὕτως οὖν καὶ ὑπάγειν λέγομεν, ἀντὶ τοῦ προάγειν, τουτέστιν εἰς τοὔμπροσθεν πορεύεσθαι. Κέχρηται τῇ λέξει Εὔπολις ἐν βάπταις.

Σὺ δ' ὕπαγε εἰς τοὔμπροσθεν·

## Φ

Φακοῦ Φακῆς διαφέρειν φασί. Φακοὶ οἱ ἔτι ὠμοὶ οὐχ ἑνικῶς. Φακὴ δὲ ἡ ἑψημένη. Τετήρηται παρὰ τοῖς παλαιοῖς ἡ διαφορά.

„ Φαυλία καὶ Φυλία διαφέρει. Φαυλία μὲν γὰρ εἶδος ἐλαίας. Φυλία δὲ ἡ κότινος.

„ Φάκελος καὶ Φάκελον διαφέρει. Φάκελος μὲν γὰρ ἐστι φορτίον ξύλων. Θουκυδίδης, Φακέλους ὕλης ἀργείας. Φάκελον δὲ ὁ μετὰ φλεγμονῆς σπασμός.

„ Φάσκαλος Φασκωλίου διαφέρει. Φάσκαλος μὲν γὰρ

ἐστιν

ποιοὶ διαφέρουσι. Τραγῳδοὶ μὲν γὰρ καὶ Κωμῳδοὶ εἰσὶν οἱ ὑποκριταὶ τῆς κωμῳδίας καὶ τραγῳδίας. Τραγῳδοποιοὶ δὲ καὶ Κωμῳδοποιοὶ οἱ Ποιηταὶ τῶν δραμάτων.

„ Τύραννον οἱ Ἀρχαῖοι ἐπὶ Βασιλέως ἐτάσσον. Ἡρόδοτος ἐπὶ Κροίσου. Τυράννου δ' ἐθνέων καὶ προβάς. Τελευτήσαντος δὲ Ἀλυάττεω, διεδέξατο τὴν βασιλείαν. Καὶ Ἀριστοφάνης ἐν Λημνίαις· Ἐνταῦθ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ Θόας βραδύτερος τῶν ἐν ἀνθρώποις δραμεῖν. Ἔσθ' ὅτε καὶ τὸν Τύραννον Βασιλέα ἔλεγον, ὡς Εὔπολις ἐν δόμοις ἐπὶ τοῦ Πεισιστράτου.

„ Τήθη μέν ἐστιν ἡ μάμμη. Ἐπιτήθη δὲ ἡ προμάμμη. Τιθὴ δὲ ἡ Θεία. Τιτθὴ δὲ ἡ τροφός.

## Υ

Ὕμνος Ἐγκωμίου διαφέρει. ὁ μὲν γὰρ Ὕμνος ἐστὶ θεῶν· τὸ δὲ Ἐγκώμιον ἀνθρώπων.

„ Ὕπαρ Ὀνείρατος διαφέρει. Ὕπαρ μὲν γάρ ἐστιν ἡ ἐναργὴς ὄψις. Ὄνειρον δὲ, ἡ ἐν τῷ καθεύδειν φαντασία.

„ Ὑπαντῆσαι καὶ Ἀπαντῆσαι διαφέρει. Ὑπαντῆσαι μὲν γὰρ ἐπὶ ὁδοῦ λέγεται. Ἀπαντῆσαι δὲ τὸ περιτυχεῖν δίκῃ. οἷον ἀπήντησε κατὰ τὴν δίκην, ἀντὶ τοῦ περιέτυχεν.

„ Ὑπόσχεσις καὶ Ἐπαγγελία διαφέρει. Ὑπισχνεῖται μὲν γὰρ, ὁ τὸ ἀξιωθὲν διδόναι μέλλων. Ἐπαγγέλλεται δὲ ὁ δίχα παρακλήσεως παρέχειν βουλόμενος.

„ Ὑποψία Ὑφοράσεως διαφέρει. Ὑποψία μὲν γὰρ

„ Τείχη καὶ Τειχεῖα διαφέρει. Τείχη μὲν γάρ ἐστι τὰ τῶν πόλεων. Τειχεῖα δὲ τὰ τῶν οἰκιῶν.

„ Τήθη καὶ Τηθὶς διαφέρει. Τήθη μὲν γάρ ἐστιν ἡ τοῦ παιδὸς τροφός. ταύτας δ' ἔνιοι Μαίας καὶ Μάμμας καλοῦσι. Τηθὶς δέ ἐστιν ἡ τοῦ πατρὸς, ἢ μητρὸς ἀδελφὴ, ἣν ἔνιοι Θείαν καλοῦσι.

„ Τιτθὴ, καὶ Τροφὸς, καὶ Τιθηνὸς διαφέρει. Τιτθὴ μὲν γάρ ἐστιν ἡ μαστὸν παρέχουσα. Τροφὸς δὲ, καὶ Τιθηνὸς ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς καὶ μετὰ τὸν ἀπογαλακτισμόν.

„ Τιμωρεῖσθαι καὶ Τιμωρεῖν διαφέρει. Τιμωρεῖσθαι μὲν γάρ ἐστι τὸ κολάζειν. Τιμωρεῖν δὲ τὸ βοηθεῖν τοῖς ἀδικουμένοις.

„ Τίθησι καὶ Τίθενται διαφέρει. Τίθησι μὲν γὰρ τὸν νόμον ὁ νομοθέτης. Τίθενται δὲ τὸν νόμον οἱ δικάζοντες καὶ αἱρούμενοι.

„ Τοὔνεκα καὶ Οὕνεκα διαφέρει. τὸ μὲν γὰρ Τοὔνεκά ἐστι τούτου ἕνεκα. Τὸ δὲ Οὕνεκα ἀντὶ τοῦ ὅτι. Ἁμαρτάνει οὖν ὁ Καλλίμαχος ἐν αἰκάλῃ κατὰ δύο τρόπους, λέγων,

Τοὔνεκεν αἰγαῖος ἔχει.

ὅτι τε δέον εἰπεῖν οὕνεκα, τοὔνεκεν εἶπε. καὶ ὅτι ἀντὶ τοῦ οὕνεκα τοὔνεκεν εἶπεν.

„ Τιμωρεῖν καὶ Τιμωρεῖσθαι διαφέρει. Τιμωρεῖν μὲν γάρ ἐστι τὸ βοηθεῖν τινι καὶ συναίρεσθαι. Τιμωρεῖσθαι δὲ τὸ κολάζειν. καὶ συντάττουσι, τιμωρῶ τῷ φίλῳ, ἀντὶ τοῦ βοηθῶ. Τιμωροῦμαι τὸν ἐχθρὸν, ἀντὶ τοῦ κολάζω.

„ Τί-

„ Σχολῆ τὸ Ἠρέμα, καθὸ φαμὲν, σχολῆ βαδίζω, καὶ τὸ ἐν καιρῷ, καθ' ὃ λέγεται, οὐκ εἶχον σχολήν. καὶ ἡ διατριβὴ, καὶ οἱ Μαθηταί. διὸ φαμὲν λαμπρὰν σχολήν.

T

ΤΑ'λαν διὰ τοῦ ν, τὸ ἐπίρρημα. διὰ δὲ τοῦ σ, ὁ ταλαίπωρος.

„ Τάπητες, καὶ Α'μφιτάπητες διαφέρουσι. Τάπητες μὲν γάρ εἰσιν, οἱ ἐκ τοῦ ἑτέρου μέρους μαλακὸν ἔχοντες. Α'μφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων.

„ Ταυρόκτονος ὁ ὑπὸ ταύρου ἀναιρεθείς. Ταυροκτόνος ὁ ταῦρον ἀποκτείνας.

„ Τέχνη Ε'πιτηδεύματος διαφέρει. Τέχνη μὲν γάρ ἐστιν, ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον Γραμματικὴ, Ρ'ητορικὴ. Ε'πιτήδευμα δὲ τὸ λόγου χηρεῦον, οἷον Χαλκευτικὴ, Τεκτονική.

„ Τεχνίτης καὶ Βάναυσος διαφέρει. Τεχνίτης μὲν γάρ ἐστιν ὁ λογικῆς τινος τέχνης ἔμπειρος καθεστώς. Βάναυσος δὲ ὁ διὰ λόγου τινὸς ἐπιτηδεύματος.

„ Τέτραχμον καὶ Τετράδραχμον διαφέρει. Τέτραχμον μὲν γάρ ἐστι τὸ νόμισμα, Τετράδραχμον δὲ τῶν τεσσάρων δραχμῶν.

„ Τέρας Σημείου διαφέρει. τὸ μὲν γὰρ Τέρας παρὰ φύσιν γίνεται. τὸ δὲ Σημεῖον παρὰ συνήθειαν.

„ Τεχνάσματα καὶ Τεχνήματα διαφέρει. Τεχνάσματα μὲν γὰρ τὰ κακουργήματα. Τεχνήματα δὲ αἱ τέχναι.

„ Τεί-

γος ὁ πεζός.

„ Συμβουλὴ Παραινέσεως διαφέρει. Συμβουλὴ μὲν γάρ ἐστιν εἰσήγησις ἀντιλογίαν ἐπιδεχομένη, διὰ τὸ ἄδηλον τοῦ ἐκβησομένου. Καὶ γὰρ ἐάν τις συμβουλεύσῃ πόλεμον, ἀμφίβολον εἰσφέρει· διὸ καὶ ἔχει τὸ ἐνιστάμενον. Παραίνεσις δέ ἐστι συμβουλὴ, ἀντίῤῥησιν οὐκ ἐπιδεχομένη, διὰ τὸ ἐξ αὐτῆς λεγόμενον πάντως ὁμολογεῖσθαι ἀγαθόν. ὡς εἴτις παραινέσει σωφρονεῖν. ὅπερ ἐστὶν ὁμολογημένον ἀγαθόν.

„ Σφάξαι καὶ Θῦσαι διαφέρει. Θῦσαι μὲν γάρ ἐστι τὸ θυμιᾶσαι. Σφάξαι δὲ τὸ ἱερουργῆσαί τι ζῶον. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν, οὕτω μὲν θῦσαι εἰπὼν,

Θεοῖσι δὲ θῦσαι ἀνώγει,
Πάτροκλον ὃν ἑταῖρον, ὁ δ' ἐν πυρὶ βάλλε θυηλάς. Ἐπὶ δὲ τοῦ σφάξαι·
Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν.

„ Στύραξ θηλυκῶς μὲν θυμίαμα, ἀρσενικῶς δὲ τὸ ξύλον τοῦ ἀκοντίου.

„ Σχισταὶ τὰ ὑποδήματα. Εὔπολις φίλοις.
Οὐδενὰ, ταῦτα δὲ ἀργείας φέρειν,
Σχιστὰς ἐνεργεῖν.
Σχιστὸς δὲ ἀρσενικῶς χιτὼν γυναικεῖος, Ἀπολλόδωρος ἐν ἐφήβοις.
Σχιστὸν χιτωνίσκον τινὰ ἐνδέδυκας.

Σχο-

,, Σπουδάζειν καὶ Σπεύδειν διαφέρει. Σπουδάζειν μὲν γάρ ἐστι, τὸ ἐναντίον τοῦ παίζειν. Σπεύδειν δὲ τὸ βοηθεῖν τινὶ καὶ συναίρεσθαι.

,, Στρατόπεδον καὶ Στρατὸς διαφέρει. στρατόπεδον μὲν ὁ τόπος ἐν ᾧ ἡ στρατεία. Στρατὸς δὲ τὸ στρατιωτικὸν πλῆθος. στρατεία ἐκτεταμένως τὸ πρᾶγμα. στρατιὰ συνεσταλμένως τὸ τῶν στρατιωτῶν πλῆθος. ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει.

,, Στρατὸς, καὶ Στράτευμα, καὶ Στρατόπεδον διαφέρει. Στρατὸς μὲν γὰρ καὶ Στράτευμα κυρίως τὸ πλῆθος λέγεται. Στρατόπεδον δὲ ὁ τόπος, ἐν ᾧ εἰσι.

,, Συμμαχεῖν καὶ Ἐπιμαχεῖν διαφέρει. Συμμαχεῖν μὲν γὰρ λέγουσι τὸ συν ἑαυτοῖς φησὶ Δίδυμος εἴτ' αὐτοῖς ἐπίοιεν πολέμιοι, εἴθ' ἕτεροι ἐπιστρατεύοιεν. Ἐπιμαχεῖν ὅταν τοὺς ἐπιόντας ἀμύνονται μόνον. Διέσταλκε Θουκυδίδης ἐν τῇ πρώτῃ λέγων· Κερκυραίοις Ἀθηναίους συμμαχίαν μὲν μὴ ποιήσασθαι, ἐπιμαχίαν δέ.

,, Σύνεργος καὶ Συνεργὸς διαφέρει. Συνεργὸς μὲν γὰρ ὀξυτόνως ὁ περί τι ἔργον ἀνεπιτήδειον συμπονῶν. Σύνεργος δὲ παροξυτόνως, ὁ τὸ αὐτὸ μετιὼν, οἷον σύντεχνος.

,, Σύγγραμμα Συντάξεως διαφέρει. Σύγγραμμα μὲν γάρ ἐστιν ὁ δίχα μέτρου λόγος, ὁ προσαγορευόμενος Πεζός. Σύνταγμα δὲ πολεμικόν τι σύστημα· ἀφ' οὗ καὶ Συνταγματάρχης, ὁ τοῦ συστήματος αὐτοῦ Ἄρχων.

,, Σύνθεσις Συντάξεως διαφέρει. Σύνθεσις μὲν γάρ ἐστιν ὁ λόγος ὁ ἔμμετρος· Σύνταξις δὲ ὁ λόγος

τάχεσις λόγου. Σιγὴ δὲ στέρξις λόγου.

„ Σκήπτεσθαι καὶ Σκέπτεσθαι διαφέρει. Σκήπτεσθαι μὲν γάρ ἐστι τὸ προφασίζεσθαι. Σκέπτεσθαι δὲ τὸ βουλεύεσθαι.

„ Σκῶμμα Γελοίου, Εὐτραπέλου, καὶ Γεφυρισμοῦ διαφέρει. Σκῶμμα μὲν γάρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον, οἱονεὶ σκέμμα. Γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῆς ἀκροατῶν χωρὶς τινος ὕβρεως. Εὐτράπελον τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον. Γεφυρισμὸς δὲ ἀπὸ τοῦ τοῖς Ἀθήνησιν ἐπὶ τῶν γεφύρων ἐπιχαίρειν, ἤτοι ἔμμετρα, ἢ καὶ δίχα μέτρων διασυρμοὺς τινῶν.

„ Σοφὸς καὶ Συνετὸς διαφέρει. καθὸ ὁ Σοφὸς καὶ Συνετὸς, ὁ δὲ Συνετὸς οὐ πάντως σοφός.

„ Σοῖο καὶ Σεῖο παρὰ Ποιηταῖς κατὰ τοὺς ἀκριβῶς ἀναγινώσκοντας διαφέρει. Σοῖο μὲν γάρ ἐστι σύναρθρος Ἀντωνυμία. οἷον, Μνήσεο πατρὸς σοῖο. ἡ δὲ Σεῖο οὐ σύναρθρος.

Σεῖο δ' ἐκεῖ ζώου καὶ τρὶς τόσα δοῖεν ἄποινα. ἀντὶ τοῦ, σοῦ ζῶντος. καὶ τρὶς τοσαῦτα δοῖεν ἄποινα, ἐκέτι σοῦ ζῶντος. καὶ φυλάττεται ταῦτα ἄκρως παρ' Ὁμήρῳ.

„ Σπονδαὶ καὶ Συνθῆκαι διαφέρει. Σπονδαὶ μὲν γὰρ ἃς ἐκ πολέμου συντίθενται πρὸς ἀλλήλους, ἃς ἀναγράφονται ἐφ' οἷς διακρίνονται. οἷον συντιθέμενοι μὴ πολεμήσειν. μήδ' ἀδικήσειν ἀλλήλους. συντίθενται δὲ εἰρήνην καὶ φιλίαν πρὸς ἀλλήλους. καὶ τὸ παρὰ ταύτας προτεθὲν, ἀρχὴ γίνεται πολέμου.

„ Σπυ-

προκείμενα, ἀπαράλλακτά ἐστι, διὸ ὁμοτονεῖ. τὰ δὲ διαφέροντα οὐκέτι. καθάπερ γὰρ χόλος χολή. καὶ τρόπος τροπή. καὶ νόμος νομή. γόνος γονή. δόμος δομή. στρόφος στροφή. πόθος ποθή. Περὶ τῶν οὖν ἐν ἄλλοις ἐντελῶς εἴρηται, ὅτι διαφέρει. εἰ οὖν ἐστι Στάφυλος ἀρσενικὸν, διαφέρει δὲ τῷ σημαινομένῳ ἡ σταφυλή. Ὀπώρα δὲ ὄντως ὀξύνεται. τὸ μέντοι προκείμενον τοῦ Ἡρακλείδους παρατήρημα ἰσχυρὸν, καθὰ παραγγέλλεται ὀξυτονεῖν, οὐ μόνον διὰ τὰ παρακολουθοῦντα τῷ ὀνόματι, ἀλλ' ὅτι καὶ ὑπὲρ δύο ἐστὶ συλλαβάς. τὰ γὰρ προκείμενα δισύλλαβα. ὥστε οὐδὲ τὴν Ὀπώραν ὀξυτονεῖν ἀναλογία ἐπιτρέπει. Ἀλλὰ καὶ ἡ Πτολεμαίου ἀθετεῖται παρατήρησις, καθ' ἣν διαφέρειν φησὶ τοῖς τόνοις τοὔνομα καὶ τῷ σημαινομένῳ.

„ Σημεῖον καὶ Τεκμήριον διαφέρει. Ἀντιφῶν ἐν τῇ τέχνῃ τὰ παροιχόμενα σημείοις πιστεύεσθαι. Τὰ δὲ μέλλοντα τεκμηρίοις.

„ Σισύρα καὶ Σίσυρμα διαφέρει. Σισύρα μὲν γὰρ τὸ ἐκ τῶν τετειχωμένων δερμάτων ἀναποίητον στέγαστρον. Σίσυρμα δὲ τὸ ἐκ τῶν κορκύδων ῥαπτόμενον ἀμπεχόνιον.

„ Σηκὸς δύο σημαίνει, θεῶν τε ναὸν, καὶ προβάτων περιφράγματα.

„ Σικελὸς καὶ Σικελιώτης διαφέρει. Σικελὸς μὲν γάρ ἐστιν ὁ ἐξ αὐτῆς τῆς Σικελίας ὤν. Σικελιώτης δὲ, ὁ Σικελὸς μὲν μὴ ὢν, τὴν δὲ χώραν αὐτὴν οἰκῶν.

„ Σιωπὴ καὶ Σιγὴ διαφέρει. Σιωπὴ μὲν γάρ ἐστι κατάχε-

Ἡρακλείδης ὁ ἡμέτερος φησὶν, ἡμαρτῆσθαι δοκεῖ παρὰ τοῖς Ἕλλησιν ὀξυτονούμενον τοὔνομα. οὐδὲν γὰρ τῶν εἰς η ληγόντων θηλυκῶν ὀνομάτων, μετέχον γένους τοῦ οὐδετέρου παρὰ τελευτῶντος τοῦ υ, ὀξυτονεῖται· ἀλλὰ πάντα τὰ ὑπὲρ δύο συλλαβὰς βαρυτονεῖται κατὰ τὸ υ μὴ ὀξυτονούμενα, ἀλλὰ βαρυτονοῦντα τὸ στοιχεῖον ἔχει. οἷον κοιδύλη, δαμύλη, φεσύλη, ἐδύλη. Δοκεῖ δ' αὕτη μία τῶν τιθηνησαμένων τὸν Διόνυσον. ὡς ὁ Λυκοῦργος· Ζεὺς κατ' ἠγάθεον νυσήϊον, ἐδύλη. Ὅθεν καὶ τὸ σαφύλη βαρυτονητέον. Οἱ ὀξυτονοῦντές φασιν, ὅτι ἀπὸ βαρυτόνων ἀρσενικῶν, εἰς ος ληγόντων, τὰ εἰς η λήγοντα θηλυκὰ ὀξυτονεῖται. ἢ ἐὰν τὰ ἀρσενικὰ ὀξυτονεῖται, τὰ θηλυκὰ βαρυτονηθήσεται. οἷον πόθος ποθή. νόμος νομή. ὦνος ὠνή. τόμος τομή φόνος φονή.

Ἐν ἀργαλέῃσι φονῆσι.

καὶ τοὔμπαλιν δαναὸς δανάη. Ἐπεὶ οὖν καὶ ἐπὶ τούτου τὸ ἀρσενικὸν ἐστὶ σάφυλος, οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Διονύσου υἱὸς, τὸ θηλυκὸν σαφυλὴ ὀξυτονηθήσεται. Πρὸς οὓς ῥητέον, ἰδοὺ κόγχος κόγχη. καὶ οὐκ ὀξυτονεῖται φίλος φίλη· μόνος μόνη. μύλος μύλη. καὶ ἐπὶ τῶν ὀξυτόνων, καλὸς καλή· σοφὸς σοφή. καὶ τὰ θηλυκὰ οὐ βαρύνεται, ἀλλ' ὁμοτονεῖ τοῖς μὲν βαρυτόνοις τὰ βαρύτονα, τοῖς δὲ ὀξυτόνοις τὰ ὀξύτονα. ὅθεν οὐ παράδοξον καὶ ἀπὸ τοῦ σάφυλος βαρυτόνου ὀνόματος, καὶ τὸ θηλυκὸν βαρυτονεῖν σαφύλη, ὡς ἐδύλη. Τινὲς δὲ βοηθοῦντες τῇ συνηθείᾳ, καὶ ὀξυτονεῖν βουλόμενοι, φασίν· ὅτι ὅσα τοῦ αὐτοῦ ἀπαραλλάκτως ἔχεται σημαινομένου, ὁμοτονεῖ. ὅσα δὲ διαλλάσσει τῶν σημαινομένων, οὐκέτι. Ὁ μὲν οὖν φίλος καὶ φίλη, καὶ ξένος ξένη, καὶ τὰ

Ἀρχίλοχος·

Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο,
Ῥοδῆς τε καλὸν ἄνθος.

„ Ῥύεσθαι καὶ Ἐῤῥύεσθαι διαφέρει. Ἀριστόξενος ἐν τῷ πρώτῳ τραγῳδοποιῶν περὶ νεωτέρων, οὕτω φησὶ κατὰ λέξιν. Ῥύεσθαι καὶ Ἐῤῥύεσθαι διαφορὰν ἔχει πρὸς ἄλληλα. τὸ μὲν γὰρ Ῥύεσθαι, ἐκ θανάτου ἕλκειν· τὸ δὲ Ἐῤῥύεσθαι, φυλάττειν.

## Σ

Σταθῆναι καὶ Στῆναι διαφέρει. Σταθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. Στῆναι δὲ, τὸ κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν. οἷον, ἐστάθη ὁ ἀνδριὰς ὑφ' ἑτέρου· ἔστη ἡ νόσος. ἔστη δ' ὁ ἄνθρωπος δι' αὐτοῦ.

„ Στάχυς ὁ βραχέως τὸ ἑνικόν. ἐκτεταμένως τὸ πληθυντικόν.

„ Σταφυλὴν ὀξυτονητέον, ὡς ἀλκήν. καὶ Σταφύλην βαρυτόνως, ὡς μελίτην, διαφέρειν φησὶ Πτολεμαῖος ἐν δευτέρᾳ περὶ τῆς ἐν Ὀδυσσείᾳ προσῳδιῶν. Τὸ μὲν γὰρ βαρυτονούμενον, φησὶν, ὄνομα ἐπὶ τῆς καθημένης μολίβδου, παρὰ τοῖς ἀρχιτέκτοσι τίθεται. τὸ δ' ὀξυτονούμενον ἐπὶ ὀπώρας. Ὁ αὐτὸς πάλιν ἐν δευτέρᾳ τῆς ἐν Ἰλιάδι προσῳδιῶν κατὰ λέξιν, φησὶν οὕτως·

Σταφύλη ἐπὶ νῶτον ἔχουσα.

Σταφύλη βαρυτόνως ὡς νιόβη. οὐ γάρ ἐστιν ὅμοιον τῷ συκῇ· τοῦτο γὰρ διαιρεῖται συκέη, ἐκεῖνο δ' οὐ διαιρεῖται.

Ἡρα-

δηλοῖ. Σώφρων·

„ Πεῖ γὰρ ἄσφαλτος, ποῖος εἰλισκοπεῖται;

αὐτὶ τοῦ πῦ. Ὅταν δ' εἰς τόπον θέλῃ εἰπεῖν, φησί·

Πῦς ἐς μυχὸν καταδύῃ. Ἀντὶ τοῦ εἴς τινα μυχόν.

# Ρ

Ρ Ἀφανον καὶ Ῥαφανὶς διαφέρει. Ῥάφανον μὲν γὰρ Ἀττικοὶ λέγουσι τὴν παρ' ἡμῖν κράμβην. Ῥαφανίδα δὲ τὴν παρ' ἡμῖν ῥάπανον.

„ Ῥέφανον καὶ Ῥάφανον διαφέρει παρ' Ἴωσι καὶ Ἀττικοῖς. Ῥέφανον μὲν ἣν καὶ ἡμεῖς φαμέν. Ῥάφανον δὲ τὴν κράμβην.

„ Ῥεῖθρον Ῥεύματος διαφέρει. Ῥεῖθρον μὲν γάρ ἐστιν ὁ τόπος δι' οὗ φέρεται τὸ ῥεῦμα. Ῥεῦμα δὲ αὐτὸ τὸ ὕδωρ.

„ Ῥάδιον μὲν τὸ εὐοδοῦν. τὸ Ῥᾶστα τῇ ὁδῷ ἐπιτελούμενον. Εὐχερὲς δέ, τὸ ταῖν χεροῖν ταχέως ἐπιτελεσθέν. Εὐπετὲς δὲ τὸ ἐμπεσὸν εἰς εὐμάρειαν.

„ Ῥὶς καὶ Ῥύγχος διαφέρει. Ῥὶς μὲν γὰρ λέγεται ἐπὶ ἀνθρώπου. Ῥύγχος δὲ ἐπὶ ἀλόγου ζώου.

„ Ῥὶς καὶ Μυκτὴρ διαφέρει. Ῥὶς μὲν γὰρ λέγεται ἡ ἀπὸ τοῦ μεσοφρύου καταγωγὴ μέχρι τοῦ χείλους. Μυκτῆρες δὲ αἱ τῶν ῥινῶν κατατρήσεις, δι' ὧν ἐξεισι τὸ ὑγρὸν ἀπομασσόμενον.

„ Ῥοιὰ μὲν μετὰ τοῦ ι τὸ δένδρον. Ῥοὰ δὲ ὁ καρπός.

„ Ῥόδον, καὶ Ῥοδονιά, καὶ Ῥοδῆ διαφέρει. Ῥόδον μὲν γὰρ τὸ ἄνθος· Ῥοδονιὰ δὲ ὁ τόπος· Ῥοδῆ δὲ τὸ φυτόν.

γὰρ ὁ βιαίως ἀποθανών. Πρὸ ὥρας δὲ, ὁ ἐν νεότητι.

„ Πρεσβεύονται καὶ Πρεσβεύουσι διαφέρει. Πρεσβεύονται μὲν γὰρ οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες. Πρεσβεύουσι δὲ οἱ χειροτονούμενοι ἐπὶ τὴν πρεσβείαν.

„ Πρέσβεις οἱ πρεσβευταί. Πρέσβης δὲ οὐδέποτε λέγεται. τὸ γὰρ ἐθνικὸν Πρεσβύτης ἀνέγνωσται.

„ Πρότερος καὶ πρῶτος διαφέρει. Πρότερος μὲν ἐπὶ δυοῖν τάσσεται· ὡς Ὅμηρος ἐπὶ Τληπολέμου καὶ Σαρπηδόνος,

Τοῦ καὶ Τληπόλεμος πρότερος.

τὸ δὲ Πρῶτος ἐπὶ πολλῶν.

Ὦρτο πολὺ πρῶτος Ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

„ Πρωτότοκος μὲν προπαροξυτόνως ὁ πρότερον τεχθείς. Πρωτοτόκος δὲ παροξυτόνως ἡ πρῶτον τεκοῦσα.

„ Προσπταίειν μὲν λέγεται τοῖς κάτω μέρεσιν, ἢ ποσὶν, ἢ κνήμῃ. Προσκρούειν δὲ τοῖς ἄνω, καὶ κεφαλῇ.

„ Πείθεσθαι μὲν τὸ ἑκουσίως συγκατατίθεσθαι. Πειθαρχεῖν δὲ, τὸ κελεύοντι πειθῆναι.

„ Πυθὼν θηλυκῶς καὶ ὀξυτόνως, ὁ τόπος· βαρυτόνως δὲ καὶ ἀρσενικῶς, ὁ δράκων.

„ Πῦς, καὶ Ποῖ, καὶ Πεῖ, καὶ Πῶ διαφέρει παρὰ τοῖς Δωριεῦσι. Τὸ μὲν γὰρ Πῦς καὶ Ποῖ, τὴν εἰς τόπον σημασίαν δηλοῖ. τὸ δὲ Πεῖ τὴν ἐν τόπῳ τὸ δὲ Πῶ τὴν ἐκ τόπου. ὅθ' οἱ δωρίζοντες, καὶ λέγοντες, Πεῖ πορεύῃ, ἁμαρτάνουσι. δέον γὰρ, Πῶ πορεύῃ· τὸ γὰρ Πεῖ τὴν ἐν τόπῳ σχέσιν

δη-

Πρόξενος πόλεως καὶ ἔθνους, ὡς παρὰ Θουκυδίδῃ. ξένος δ' ὁ εἰς ἑνός. ὁ δὲ αὐτὸς καὶ Ἰδιόξενος. Οὐκ ὀρθῶς οὖν Εὐριπίδης ἐν Τηλέφῳ, Πρόξενον εἴρηκε τὸν Ἰδιόξενον.

Κακός τις ἐστὶ προξένῳ σοι χρώμενος.

Δορύξενος δὲ ὁ κατὰ πόλεμον γενόμενος φίλος. ἁλοὺς γὰρ ξενίων τυχών, ἀφείθη πρὸς τοῦ πολεμίου λύτρα λαβόντος, μνᾶς δὴ ἡ τεταγμένη. κομίσας δὲ καὶ φυλάξας τὴν πίστιν, ἐγένετο φίλος, καὶ Δορύξενος ἐκαλεῖτο.

„ Προτέρα καὶ Προτεραία διαφέρει. Προτέρα μὲν γὰρ ἐπὶ τάξεως. Προτεραία δὲ ἐπὶ μόνης ἡμέρας.

„ Πρῶτος καὶ Πρότερος διαφέρει. Πρῶτος μὲν γὰρ ἐπὶ πολλῶν· Πρότερος δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος· τῷ δὲ προτέρῳ, ὕστερος. καὶ πρότερος μὲν ἐπὶ τάξεως, πρῶτος δὲ ἐπὶ ποιότητος. ὡς ὅταν ἐπὶ ἀγάλματος λέγωμεν· πρώτως ἔχειν τῇ τέχνῃ, οἷον ὀξέως. Πλάτων γοῦν διαιρούμενος τὰς Πολιτείας, τὴν μὲν πρώτως ἔχειν φησί, τὴν δὲ ὑστέρως δηλονότι, ἡ μὲν πρωτεύει, ἡ δὲ ἕπεται. Εἰ δέ τις εἴποι· Πρότερον ἦλθον εἰς Ἀθήνας, ἁμαρτάνει, πρῶτον γὰρ χρή.

„ Πρυτανεῖα τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων τὴν δίκην· ἦν δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος τῆς δίκης. Πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος. Διῄρητο γὰρ παρὰ Ἀθηναίοις ὁ ἐνιαυτὸς εἰς δέκα πρυτανείας, ὅσαι καὶ αἱ φυλαὶ ἦσαν, καὶ ἐπρυτάνευον ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ. Ὅθεν καὶ τοὺς μισθοὺς, καὶ τὰ ἐνοίκια, κατὰ τὰς πρυτανείας κατὰ μῆνα ἐτέλουν.

„ Πρὸ μοίρας, καὶ πρὸ ὥρας διαφέρει. Πρὸ μοίρας μὲν

νηρὸς καὶ μοχθηρὸς ῥητέον ὀξυτόνως. Εἰ δ' οἱ Ἀττικοὶ βαρυτονοῦσιν, οὐ θαυμαστόν ἐστι. χαίρουσι γὰρ τῇ βαρύτητι. Ἄδελφε γοῦν λέγουσι, τὴν πρώτην ὀξυτονοῦντες, ὡς ἄπελθέ φησιν ὁ Τρύφων παρατιθέμενος Φιλήμονα τὸν Ἀγξωνέα, ὡς Θεττάλην, ὡς Μυρτάλην. καὶ χάριεν τὴν πρώτην συλλαβὴν ὀξυτονοῦντες. ὥστε οὐκ εἰς διαστολὴν φησι τοῦ σημαινομένου εὗρον τὴν βαρύτητα, ἀλλ' ὡς ἔθος ἐκπληροῦντες, οὕτω προσηνέγκαντο.

„ Ποῖ καὶ Ποῦ παρὰ τοῖς Δωριεῦσι τὴν εἰς τόπον σημασίαν δηλοῖ. Πῇ μὲν τὴν ἐπὶ τόπῳ, Ποῦ δὲ τὴν ἐκ τόπου.

„ Πονεῖν καὶ Ἀλγεῖν διαφέρει. Πονεῖν μὲν γάρ ἐστι τὸ ἐνεργεῖν. Ἀλγεῖν δὲ τὸ ὀδυνᾶσθαι.

„ Πότος βαρυτόνως, καὶ Ποτὸς ὀξυτόνως διαφέρει. Πότος μὲν γάρ ἐστι βαρυτόνως τὸ συμπόσιον· ὡς Μένανδρος·

Πότοι συνεχεῖς κύβοι.

ὀξυτόνως δὲ αὐτὸ τὸ ἔκπομα, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· Βρωτοῦ καὶ ποτοῦ μεταλαβεῖν.

„ Πολύτιμος καὶ Πολυτίμητος διαφέρει. Πολύτιμος μὲν γάρ ἐστιν, ὁ πολλῆς τιμῆς ἠγορασμένος ἄνθρωπος. Πολυτίμητος δὲ ὁ πολλῆς τιμῆς ἄξιος· ὡς τοὺς θεοὺς, πολυτιμήτους λέγομεν.

„ Πρεσβεύεσθαι καὶ Πρεσβεύειν διαφέρει. Πρεσβεύεσθαι μὲν γὰρ τὸ πέμπειν πρέσβεις. Πρεσβεύειν δὲ τὸ πέμπεσθαι πρεσβευτὴν, οἱ Ἀττικοὶ λέγουσιν.

„ Πρόξενος, καὶ Ἰδιόξενος, καὶ Δορύξενος διαφέρει.

Πρό-

ὁ ἐκ τῆς αὐτῆς πόλεως, ἐλεύθερος ἐλευθέρῳ. Πατριώτης δὲ, ὁ ἐκ τῆς αὐτῆς χώρας δοῦλος δούλῳ. ἡ γὰρ πατρὶς καὶ ἐπὶ τῆς χώρας τάττεται, ὡς τὸ,

Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι
Φίλην ἐς πατρίδα γαῖαν.

οὐ γὰρ πάντες ἐκ μιᾶς ἦσαν πατρίδος, ἀλλ' ἐκ μιᾶς χώρας.

„ Πόλις καὶ Ἄστυ διαφέρει. Πόλις μὲν γὰρ ὁ τόπος, καὶ οἱ κατοικοῦντες, ἤγουν τὸ συναμφότερον. Ἄστυ δὲ μόνον ὁ τόπος·

Φράζεο νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ σαώσῃς.

„ Ποιεῖν τοῦ Περιποιεῖν διαφέρει. Ποιεῖν μὲν γάρ ἐστι τὸ κατασκευάζειν τί. Περιποιεῖν δὲ τὸ περικτᾶσθαι, ἢ κοσμεῖν.

„ Πόνηρον βαρυτονούμενον ὡς σύλοικον, καὶ Πονηρὸν ὀξυτονούμενον ὡς κυδοιμὸν, φασὶ διαφέρειν παρὰ τοῖς Ἀττικοῖς. Ὁμοίως Μόχθηρον καὶ Μοχθηρόν. Πονηρὸς μὲν γὰρ ἐστιν ὀξυτόνως ὁ κακοήθης. Πόνηρος δὲ ὁ ἐπίπονος. ἀτόπως φησὶ Τρύφων. καὶ τὰ φαῦλα μόχθηρα λέγομεν κατὰ δ' ὀξύτητά φησι καὶ ἐπ' ἐμψύχων. Μοχθηρᾶς γέ τοι τέχνης δημιούργημα φαμὲν εἶναι εἴδη τὰ τοῦ τύπου κεκοινώνηκεν, ἄμφω ὀφείλει καὶ τῶν αὐτῶν τόνων μετέχειν. ὅτι ὀξυτονεῖν ἀπαιτεῖ ὁ λόγος βίᾳ ἀνάγκης. Πᾶν γὰρ παρώνυμον εἰς ρος λῆγον παρασχηματιζόμενον τοῖς γένεσιν, ὀξυτονεῖται, οἷον κάματος, καματηρός. ὄλισθος, ὀλισθηρός. μέλι, μελιτηρός. τόλμα, τολμηρός. νόσος, νοσηρός. εἰ δὴ πόνος καὶ μόχθος τὰ πρωτότυπα, πο-

 νηρὸς

δεής. Αʹφνειὸς δὲ ὁ ἀπ' ἐνιαυτοῦ τῆς ζοφλὼ συλλέγων· ἔνος γὰρ ὁ ἐνιαυτός· ὄλβιος δὲ, ὁ τελείαν τῆς εὐδαιμονίαν ἔχων. οἷον ὀλόβιος. Εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

„ Πλῆμαι καὶ Πλῦναι διαφέρουσι. Πλῆμαι μὲν γὰρ αἱ πλημμυρίδες τῶν ποταμῶν. Πλῦναι δὲ αἱ τῶν τροφῶν σύνεγγες.

„ Πλῆθος καὶ Οʹχλος διαφέρει. Πλῆθος μὲν γάρ ἐστι σύστημά τινων. Οʹχλος δὲ κυρίως ἡ ὄχλησις.

„ Πλούσιοι Εὐπόρων διαφέρουσιν. Οἱ μὲν γὰρ Πλούσιοι οὐ πάντως εὐποροῦνται, ἀλλὰ ἔκτινων περιστάσεων, καὶ ἀποροῦνται ποτὲ χρημάτων, ἢ ἄλλου τινός. Οἱ δὲ Εʹυποροι καὶ μὴ πλουτῶσιν, ὧν δέονται ἔχουσιν. Τινὲς δὲ Εὐπορίαν μὲν τὸν μέτριον πλοῦτον ἡγοῦνται. Πλοῦτον δὲ τὴν μεγάλην εὐπορίαν.

„ Πολεμικὸς καὶ Αἰχμητὴς διαφέρει. Πολεμικὸς μὲν γάρ ἐστιν ὁ ἐμπείρως πολεμῶν. Αἰχμητὴς δὲ ὁ ἐμπείρως τοῖς κατὰ πόλεμον ὅπλοις χρώμενος.

„ Πόμα καὶ Πῶμα διχῶς λέγουσι. τὸ μὲν ἁπλοῦν, διὰ τοῦ ο μικροῦ. ἐν δὲ συνθέτοις μόνον διὰ τοῦ ω μεγάλου, οἷον γαλακτοπωτεῖν, καὶ ἱδροπωτεῖν.

„ Πομπὴ καὶ Πομπεία διαφέρει. Πομπὴ μὲν γάρ, ἣν τοῖς θεοῖς πέμπουσι. Πομπεία δὲ ἡ λοιδορία. Δημοσθένης. τῆς δὲ πομπείας ταύτης ὕστερον.

„ Παῤῥησία καὶ Παρουσία διαφέρει. Παῤῥησία μὲν γὰρ ἡ διὰ λόγων πρός τινα οἰκείωσις. Παρουσία δὲ ἡ ἐπέλευσις.

„ Πολίτης καὶ Πατριώτης διαφέρει. Πολίτης μὲν γὰρ

ὁ ἐκ

„ Περιμάξαι κ) Ἐκμάξαι. τὸ τοὺς οἰομένους πεφαρμάχθαι, δι' ἐπῳδῶν κ) καθαρμῶν προσποιεῖσθαι ἀπολύειν.

„ Περαςὴς κ) Πειρατὴς διαφέρει. Πειραςὴς μὲν γὰρ ὁ πειράζων. Πειρατὴς δὲ ὁ θαλάσσιος λῃςής. κ) Νεῖλος τὰς διαλυθείσας σανίδας καταλιπόντες τοῖς πειραταῖς.

„ Πεῖρα κ) Πήρα διαφέρει. Πεῖρα μὲν γάρ ἐςιν ἡ ἐπιςήμη τε καὶ ἐμπειρία. Πήρα δὲ τὸ ἰατρικὸν ἐγχειρίδιον· καὶ δέρματι ἀρτοφόρον, ὃ ἐπὶ τῶν νόμων φέρουσιν οἱ ποιμένες.

„ Πηδάλιον κ) Πληθεῖον διαφέρει. Πηδάλιον μὲν γὰρ νεός. Πληθεῖον δὲ σχεδίας.

„ Πῆ, κ) Ποῖ, κ) Ποῦ διαφέρει. τὸ μὲν γὰρ πῆ, κ) ποῖ, εἰς τόπον, οἷον πῆ ἔβη Ἀνδρομάχης; τὸ δὲ ποῦ ἐν τόπῳ, οἷον,

Ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα;

ὥς θ' ἁμαρτάνουσιν οἱ λέγοντες, ποῦ ἀπέρχῃ δέον, εἰπεῖν, πῆ ἀπέρχῃ;

„ Πλεῖν τοῦ Ἀποπλεῖν, κ) Παραπλεῖν, κ) Περιπλεῖν, διαφέρει. Πλεῖν μὲν γάρ ἐςι, τὸ κατ' εὐθὺ πλέειν. Ἀποπλεῖν δὲ τὸ ἐκ τόπου τινὸς ἀπαίρειν. Παραπλεῖν δὲ τὸ τόπον τινὰ διὰ πλοίου διέρχεσθαι. Περιπλεῖν δὲ τὸ περὶ σκάφος ἀναςρέφεσθαι περὶ τὸν αὐτὸν τόπον.

„ Πλούσιος Εὐπόρου, Ἀφνειοῦ, Ὀλβίου, ϗ Εὐτυχοῦς, διαφέρει. Πλούσιος μὲν γὰρ ὁ πολυούσιος, ὁ πολλὴν ἔχων οὐσίαν. Εὔπορος δὲ, ὁ πρὸς τὰς ἐπιβαλλούσας τύχας αὐτάρκης.

Καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

„ Παρθενία & Σωφροσύνη διαφέρει·καὶ Παρθένος Σώφρονος. καθὸ ἡ μὲν Παρθένος σώφρων ἐστὶ πάντως. ἡ δὲ Σώφρων, οὐ πάντως παρθένος.

„ Πάσχειν καὶ Συμπάσχειν διαφέρει. ὡς Πάσχων Συμπάσχοντος. ὁ μὲν γὰρ πάσχων λυπεῖται μὲν ἐπὶ τῷ τοῦ συμπάσχοντος πάθει· οὐ μέντοι συμπάσχων ἀλγεῖ, καθάπερ ὁ πάσχων. οἷον πυρέττει τὶς τῶν φίλων σφόδρα, καὶ συμπάσχομεν τούτῳ πυρέττοντι, οὐ μὲν δὴ καὶ πυρέττομεν.

„ Πάτρια, Πατρῷα, καὶ Πατρικὰ διαφέρει. Πατρῷα μὲν γὰρ τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα. Πατρικοὶ δὲ οἱ φίλοι, ἢ ξένοι. Πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

„ Παιδίσκη καὶ Παιδισκάριον διαφέρει. Παιδίσκην μὲν γὰρ λέγομεν τὴν ἐλευθέραν. Παιδισκάριον δὲ τὴν δούλην. Παῖδα οὐ μόνον τὸν υἱὸν, ἀλλὰ καὶ τὸν δοῦλον, ὡς Δημοσθένης ἐν τῷ πρὸς Πανταίνετον.

„ Πελάστης καὶ Πενέστης διαφέρει. Πελάστης μὲν γὰρ ὁ πρόσφυγξ. Πενέστης δὲ παρὰ Θεσσαλοῖς ὁ κατὰ πόλεμον δωρηθεὶς, ὡς παρὰ Λάκωσιν οἱ εἵλωτες.

„ Πένης καὶ Πτωχὸς διαφέρει. Πένης μὲν γὰρ, ὁ ἀπὸ τοῦ ἐργάζεσθαι καὶ πονεῖν ποριζόμενος τὸν βίον. Πτωχὸς δὲ ὁ ἐπαίτης, ὁ τοῦ ἔχειν ἐκπεπτωκώς. ἢ ἀπὸ τοῦ πτώσσειν. πτωχὸν δ' αὐτὴ ἱρὸν δ' αὐτῷ ἀπολυμαντῆρα. καὶ ἐτυμολογῶν φησίν. ἀλλὰ πτώσσειν βούλεται αἰτίζων κατὰ δῆμον· βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.

μὲν γάρ ἐστιν, ἡ οἷα τε γενέσθαι ἐπὶ παραδείγματος· οἷον,

Ὡς δ' ὅτε τίς τε δράκοντα ἰδών.

Παράδειγμα, γεγονότος πράγματος, ἀντιπαράθεσις. Οἶνος καὶ κένταυρον ἀπώλεσεν.

» Πάλτον καὶ Πέλτη διαφέρει. Πάλτον μὲν γάρ ἐστι τὸ δόρυ. Πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα.

» Παρακέκρουσαι καὶ Παρακέκρυται διαφέρει. τὸ μὲν γὰρ σὺν τῷ σ, ἐνεργητικόν ἐστι, καὶ σημαίνει τὸ ἐξηπάτηκε. τὸ δὲ χωρὶς τοῦ σ, παθητικὸν, καὶ σημαίνει τὸ ἐξηπάτηται.

» Παῖς καὶ Ἀντίπαις διαφέρει. Παῖς μὲν γάρ ἐστιν ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ. Ἀντίπαις δὲ ὁ ἐκβεβηκὼς τὴν παιδὸς τὴν ἡλικίαν, καὶ ἤδη πρόσηβος. Βούπαις δὲ, ὁ μέγας παῖς.

» Παιδίσκη καὶ Θεράπαινα διαφέρει. Παιδίσκη μὲν γάρ ἐστι πᾶσα ἡ τὴν παιδικὴν ἔχουσα ἡλικίαν, ὡς καὶ παιδίσκος. Θεράπαινα δὲ ἡ δούλη.

» Παίδευσις καὶ Παιδεία διαφέρει, ὥς φησι Πλάτων ἐν ὅροις. Παιδεία μὲν γάρ ἐστι δύναμις θεραπευτικὴ ψυχῆς. Παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις, καὶ ἐκ παιδὸς ἀρετὴ ἐπ' ἀρετὴν ὁδηγοῦσα.

» Παιδίσκη καὶ Παῖς διαφέρει. Παιδίσκη μὲν γὰρ ἡ ἐλευθέρα παρ' Ἀττικοῖς. Παῖς δὲ ἡ δούλη. Μένανδρος ἐν δακτυλίῳ.

Ἐπὶ τοῦ δ' αὖθις οὗτος ὁ κακοδαίμων ἔφη,
Ὃς οὐκ ἂν ἐκδεῖν θυγατέρος μένος,

Καὶ

„ Ὄφλημα καὶ Χρέος διαφέρει. Ὄφλημα μὲν γὰρ, ἢ Ὀφείλημα τὸ ἐκ καταδίκης τῷ δημοσίῳ ὀφειλόμενον. Χρέος δὲ τὸ ἰδιωτικὸν δάνειον.

„ Ὄχθαι καὶ Ὀχθοὶ διαφέρουσιν. Ὄχθαι μὲν γάρ εἰσι ποταμῶν χείλη. Ὀχθοὶ δὲ ἐπάρματα γῆς.

„ Ὀψὲ καὶ Ἑσπέρα διαφέρει. Ἑσπέρα μὲν γάρ ἐστιν ἡ μετὰ τὴν δύσιν τοῦ Ἡλίου ὥρα. Ὀψὲ δὲ ἡ μετὰ πολὺ τῆς δύσεως, καὶ καθόλου μετὰ πολὺν χρόνον. ὡς Ὅμηρος,

Ὀψὲ δὲ δὴ μετέειπε.

Καὶ Ὀψαρότης πρὸ ἀρότης ἰσοφαρίζει. Ὀψαρότης γὰρ ὁ κατὰ πολὺ τοῦ προσήκοντος χρόνου ἀροτριῶν.

## Π

ΠΑρέχειν καὶ Παρέχεσθαι διαφέρει. Παρέχειν μὲν γὰρ λέγεται τὰ διὰ χειρὸς διδόμενα, οἷον ἐσθήματα ἢ ἐκπόματα. τὸ δὲ Παρέχεσθαι λέγεται ἐπὶ τῆς ψυχῆς διαθέσεων, οἷον ἐπιθυμίαν, εὔνοιαν. Θουκυδίδης. Καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. Δημοσθένης ἐν Φιλιππικοῖς· Τὴν αὐτὴν παρεχόμεθα προθυμίαν.

„ Παρειαὶ καὶ Παρεῖαι διαφέρουσι. Παρειαὶ μὲν γὰρ ὀξυτόνως αἱ τοῦ ἀνθρώπου. Παρεῖαι δὲ προπερισπωμένως, Ὄφεις τινὲς, μετέωρα τὰ παρεῖα ἔχοντες ὡς παρείας ὢν ὄφις.

„ Πάσασθαι, βραχέως μὲν ὄντος τοῦ α, τὸ γεύσασθαι δηλοῖ. ἐν ἐκτάσει δὲ τούτου, τὸ κτήσασθαι.

„ Παραβολὴ καὶ Παράδειγμα διαφέρει. Παραβολὴ

μὲν

„ Οὕνεκα καὶ Ἕνεκα διαφέρει. Οὕνεκα μὲν σημαίνει ὅτι. Ἕνεκα δὲ χάριν. Ὅμηρος διαστέλλει.

Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα·

ἀντὶ τοῦ ὅτι. Εἵνεκα ῥιγεδανῆς Ἑλένης.

ἥμαρτεν οὖν ὁ Καλλίμαχος εἰπών·

Εἵνεκεν οὐχ' ἓν ἄλεισμα. ὅπερ ἄτοπον. ἔδει γὰρ εἰπεῖν οὕνεκα, ἵνα γένηται, ὅτι οὐχ' ἓν ἄλεισμα.

„ Οὗτος καὶ Οὑτοσὶ διαφέρει. τὸ μὲν γὰρ Οὑτοσὶ δεικτικὸν μόνον· τὸ δὲ Οὗτος δεικτικὸν καὶ ἀναφορικόν. Δεικτικὸν μὲν, οὗτός τοι Διομήδης. ἀναφορικὸν δέ.

Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει.

ὁ αὐτὸς λόγος καὶ ἐπὶ Τοῦτον καὶ Τουτονί.

„ Οὐλὴ καὶ Ὠτειλὴ διαφέρει. Οὐλὴ μέν ἐστιν ἡ ἡγιασμένη σὰρξ ἐκ παλαιοῦ τραύματος. Ὠτειλὴ δὲ τὸ πρόσφατον τραῦμα, παρὰ τὸ οὐτᾶσθαι. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν, ἐπὶ μὲν τῆς Οὐλῆς εἰπών·

Τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.

ἐπὶ δὲ τῆς Ὠτειλῆς,

Αὐτίκα δ' ἔρρεεν αἷμα κατ' οὐταμένην ὠτειλήν.

„ Οὖρος καὶ Οὐρὸς διαφέρει. οὖρος μὲν ὁ ἄνεμος. Οὐρὸς δὲ ὁ τόπος, ἢ τὸ νεώριον.

Οὐροὺς τ' ἐξεκάθαιρον.

„ Ὄφλειν καὶ Ὀφείλειν διαφέρει. Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν ὑπομνήματι περὶ Παραπρεσβείας Δημοσθένους. Ὄφλει μὲν γάρ τίς φησιν ἐπὶ καταδίκῃ. Ὀφείλει δέ τις, ὡς ἡμεῖς ἐκδεχόμεθα.

„ Ὄφλη-

„ Ὀρνιθοθήρης καὶ Ὀρνιθοσκόπος διαφέρει. Ὀρνιθοθήρης μὲν γάρ ἐστιν ὁ θηρεύων ὄρνιθας. Ὀρνιθοσκόπος δὲ ὁ οἰωνοσκόπος.

„ Ὀροφὴ καὶ Τέγος διαφέρει. Ὀροφὴ μὲν γάρ ἐστι στέγη. Τέγος δὲ τὸ δῶμα.

„ Ὅσιον καὶ Ἱερὸν διαφέρει. Ὅσια μὲν γάρ ἐστι τὰ ἰδιωτικὰ ὧν ἐφίεται, καὶ ἔξεστι προσάψασθαι. Ἱερὰ δὲ τὰ τῶν θεῶν, ὧν οὐκ ἔξεστι προσάψασθαι. Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους λέγει. Ὥς τε τίθησι τοῦτον τὸν νόμον, δι' οὗ τῶν μὲν ἱερῶν χρημάτων τοὺς θεούς, τῶν ὁσίων δὲ τὴν πόλιν ὑποστερεῖ.

„ Ὅτι, καὶ Διότι διαφέρει. τὸ μὲν γὰρ Ὅτι αἰτίαν δηλοῖ, ὅτι δὲ βεβαίωσιν. τὸ δὲ Διότι αἰτίαν δηλοῖ. Αὐτίκα γοῦν, ὅτι μὲν ἐκλείπει ἡ Σελήνη, πάντες ἴσμεν· διότι δὲ οὐκέτι, ἀλλὰ μόνοι οἱ ἔμπειροι.

„ Οὔκουν παροξυτόνως μὲν ἀποφαντικὸν, ἴσον τῷ οὐχὶ οὖν, οἷον οὔκουν ἀπιστεῖν. Περισπωμένως δὲ, συλλογιστικός ἐστι σύνδεσμος, καὶ σημαίνει ἀπόφασιν.

„ Οὐδὲν διὰ τοῦ δ, καὶ Οὐθὲν διὰ τοῦ θ διαφέρει. Οὐδὲν μὲν γὰρ τὸ ἐν τῷ καθόλου, ὡς φαμὲν, οὐδὲν ἐν κόσμῳ κενόν. πᾶσα γὰρ ἡ τοῦ κενοῦ φύσις βαστάζεται. Οὐθὲν δὲ ἀναλυθὲν εἰς τὸ ἴδιον ἀντίστοιχον, σημαίνει τὴν τοῦ ἑνὸς ἄρσιν, καὶ ἐπιφορὰν ἑτέρας ἀρχῆς, οὐθ' ἓν, οὔτε δύο. τὸ δὲ διὰ τοῦ δ, ἀπαρτίζει. Διὸ καὶ ὁ Ποιητής φησιν. Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. Ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει. Διὸ καὶ Ζηνόδοτον εὐθύνουσι γράφοντα, Οὐθὲν ἀκιδνότερον.

„ Οὔνε-

„ Οἶκος, Οἰκία, Συνοικία, Οἰκίσκος, καὶ Δῶμα διαφέρουσιν. Οἶκος μὲν λέγεται ἡ πᾶσα οὐσία. Οἰκία δὲ ἡ ὑπὸ ἑνὸς, ἢ ὑπὸ δευτέρου κατοικουμένη. Συνοικία δὲ ἡ πολλοῖς καὶ μισθουμένη. Οἴκημα δὲ τὸ τέγος, ἢ τὸ δεσμωτήριον. Οἰκίσκος τὸ μικρὸν δωμάτιον. Δῶμα δὲ ὁ λεγόμενος κοιτών.

„ Ὄλβιος καὶ Εὐτυχὴς διαφέρει. Ὄλβιος μὲν γάρ ἐστιν ὁ τελείαν τὴν εὐδαιμονίαν ἔχων. Εὐτυχὴς δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

„ Ὀλίγον καὶ Μικρὸν διαφέρει. τὸ μὲν γὰρ Ὀλίγον ἐπ' ἀριθμοῦ, τὸ δὲ Μικρὸν ἐπὶ μεγέθους τάσσεται. Ἀρειστόνικος ἐν ὑπομνήματι: ἐκάλεσ' ἐπὶ στοιχίου ὀλίγην μακρὰν ὑπαλλακτικῶς. τὸ μὲν γοῦν Ὀλίγον ἐπ' ἀριθμοῦ, τὸ δὲ Μικρὸν ἐπὶ μεγέθους τάσσεται: καὶ Ὅμηρος, Δίφρον ἀεικέλιον παραθεὶς ὀλίγην τε τράπεζαν. Τὴν μικράν.

„ Ὅλμος καὶ Ὅρμος διαφέρει. Ὅλμος μὲν γάρ ἐστι μυρεψικὸν σκεῦος, εἰς ὃ κόπτονται τὰ εἴδη τὰ μυρεψικά. Ὅρμος δέ ἐστι λιμήν.

„ Ὄρθρος μὲν γὰρ ἡ πρὸ ἀνατολῆς Ἡλίου ὥρα, καθ' ἣν ἀναστάντες ἐξ ὕπνου ὄρθριοι γινόμεθα. Πρωῒ δὲ ἡ πρὸ τοῦ καθήκοντος καιροῦ. Ὅμηρος,

Πρωῒ δ' ὑπ' ἠοῖος σὺν τεύχεσι·

καὶ Ἡσίοδος τελευτῆσαι τινὰ

Πρωῒ μάλ' ἠΐθεον· τοῦτ' ἔστι πρόωρον.

„ Ὁρᾶν καὶ Ὑπερορᾶν διαφέρει. Ὁρᾶν μὲν γάρ ἐστι τὸ θεωρεῖν. Ὑπερορᾶν τὸ καταφρονεῖν.

„ Ὀρνι-

Οἰκῆας, ἄλοχόν τε φίλην, καὶ νήπιον υἱόν. Καὶ
Ἐξ ὕπνου γόωσα φίλους οἰκῆας ἐγείρει.
καὶ ἐν Ὀδυσσείᾳ.
Κήδετο οἰκήων, οὓς κτήσατο δῖος Ὀδυσσεύς.

„ Οἰκίζεται καὶ Συνοικίζεται διαφέρει. Οἰκίζεται μὲν γὰρ πόλις ὑπὸ τῆς πρώτης τῶν συνοικητόρων ἀθροίσεως, καὶ καθιδρύσεως. Συνοικίζεται δὲ ἡ ἐκ πολλῶν πόλεων εἰς μίαν πόλιν συναγομένη, ὑπὲρ τοῦ πλείονα δύναμιν ἔχειν. Διοικίζεται δὲ ἡ ἐκ μιᾶς πόλεως μεγέθει ἰσχυούσης εἰς πολλὰ καταδιαιρουμένη ὑπὸ τῶν ἐχθρῶν, ἵνα ἀσθενὴς γένηται, ὡς οἱ Λακεδαιμόνιοι τὴν ἐν Ἀρκαδίᾳ μεγάλην πόλιν διῴκησαν.

„ Οἰκότριψ καὶ Οἰκέτης διαφέρει. Οἰκότριψ μὲν γὰρ ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. Οἰκέτης δὲ ὁ δοῦλος ὁ ὠνητός. παρὰ δὲ Σόλωνι ἐν τοῖς Ἄξωσιν, οἰκεὺς κέκληται ὁ οἰκότριψ.

„ Οἶμος Οἴμης διαφέρει. Οἶμος μὲν γάρ ἐστιν ἀρσενικῶς ἡ ὁδός· Οἴμη δὲ ἡ ᾠδή.

„ Οἶκτος καὶ Οἰκτισμὸς διαφέρει. Οἶκτος μὲν γάρ ἐστιν οἰκτιζομένου ἔλεος. Οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος.

„ Οἴνη καὶ Οἰνάνθη διαφέρει. Οἴνη μὲν γὰρ ἡ ἄμπελος. Οἰνάνθη δέ, ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις. Οἰνάρεα δὲ τὰ φύλλα.

„ Οἴκαδε τοῦ Εἰς οἶκον διαφέρει. Οἴκαδε μὲν γὰρ τὸ εἰς τὴν ἰδίαν οἰκίαν βαδίζειν, Εἰς οἶκον δὲ καὶ ἐφ' ἕτερον.

# Ξ

ΞΟ'ανον, Βρέτας, Α'γαλμα διαφέρει. Ξόανον μὲν γάρ ἐστι τὸ ἐξεσμένον λίθινον, ἢ ἐλεφάντινον. Βρέτας δὲ τῷ βροτῷ ὅμοιον, ἤτοι χαλκοῦν, ἢ ἐκ τῆς ἐμφεροῦς ὕλης πεποιημένον. Α'γαλμα δὲ τὸ πώρινον, ἢ ἔκτινος ἑτέρου λίθου κατεσκευασμένον.

„ Ξενίζειν μὲν οὐ μόνον τὸ καταδέχεσθαι ξένον, ἀλλὰ καὶ τὸ ξένως διαλέγεσθαι, ὡς Δημοσθένης ἐν τῷ πρὸς Βοιωτούς.

„ Ξυστὸς τό, τε ἀκόντιον, ὡς παρ' Η'σιόδῳ ἐν τῷ πρώτῳ· καὶ τὸ οἰκοδόμημα, ὡς παρὰ Ξενοφῶντι ἐν οἰκονομικῷ.

# Ο

Ο'Βελὸς, Ο'βολὸς διαφέρει. Ο'βελὸς μὲν γάρ ἐστιν, εἰς ἃ διαπειρῶνται τὰ κρέα μέλλοντα ὀπτᾶσθαι. Ο'βολὸς δὲ μέρος δραχμῆς.

„ Ο"δε καὶ Ο'δὶ διαφέρει. ὅδε μὲν γὰρ ἀναφορικῶς καὶ δεικτικῶς. Ο'δὶ δὲ δεικτικῶς μόνον κατ' ἐπέκτασιν.

„ Οἰκῆας καὶ Οἰκείους διαφέρειν φασίν. Οἰκεῖοι μὲν γὰρ καὶ οἱ κατ' ἐπιγαμίαν προσήκοντες. Οἰκῆες δ' ἅπαντες καὶ οἱ ἐν τῇ οἰκείᾳ τυγχάνοντες τῇ αὐτῇ, εἴτε οἰκέται, εἴτε ἐλεύθεροι. φησὶ γοῦν Ε'κτωρ·

Ο"φρα ἴδωμεν.

λων ἤδη κοινότερον. Νηρεΐδας καλεῖσθαι, καὶ τὰς μὴ γνησίας, καὶ τὸν ἀριθμὸν, Πλείους δὲ τὰς ἄλλας. Ταῦτα φησὶ Μνασέων ἐν τοῖς περὶ τῆς Εὐρώπης τὸν τρόπον τοῦτον. Εἶτα ἐκτίθεται διὰ μακρῶν τὴν λέξιν, καὶ ἐπιφέρει πιθανῶς τοὺς μὲν ἐκ μιᾶς τῆς Δωρίδος γνησιωτέρας τῶν ἄλλων οὔσας, Νήρεως θυγατέρας λέγεσθαι, τὰς δὲ συμμίκτους αὐτῷ μόνον Νηρεΐδας.

„ Νῆες Πλοίων διαφέρουσι. Δίδυμος ἐν δεκάτῳ ῥητορικῶν ὑπομνημάτων φησὶν οὕτως· ὅτι διαφέρουσιν αἱ Νῆες τῶν Πλοίων. τὰ μὲν γάρ ἐστι στρογγύλα, αἱ δὲ κωπήρεις καὶ στρατιώτιδες. Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν Δικαιώμασι τῶν πολέμων οὕτως. Ἀλέξανδρος ὁ μολοττὸς ὑπὸ ταυτὸν χρόνον Ταραντίνων αὐτὸν μεταπεμψαμένων ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον, ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατηγικοῖς.

„ Νοῦς μέν ἐστιν ἀπόκρυφος λογισμός. Φρένες δὲ αἱ ἀγαθαὶ διάνοιαι.

„ Νῦν καὶ Νυνὶ διαφέρει, φησὶ κατά τινας Ἡρακλείδης ἐν πρώτῃ περὶ καθολικῆς Προσῳδίας. τὸ μὲν γὰρ Νῦν, χρονικὸν ἐπίρρημα τάσσεται ἐπὶ τῶν τριῶν χρόνων, Ἐνεστῶτος, Παρῳχημένου, καὶ Μέλλοντος. οἷον ὅτι ἀγὼν νῦν ἐστι, νῦν ἔσται. τὸ δὲ Νυνὶ ἐπὶ μόνου Ἐνεστῶτος.

„ Νωθέστερος μὲν ὁ βλακώδης. Νωχελέστερος δὲ ὁ ἀσθενέστερος.

Ξόανον,

καὶ ψευδῆ. Ὁ γοῦν λέγων εὖ πεποίηται ἡ περὶ τὸν Κύκλωπα Ἱστορία, ἢ ἄλλο τι τοιοῦτον, οὐκ ἄγαν ὀρθοεπεῖ. μᾶλλον γὰρ ἁρμόζει λέγειν εὖ πεποίηται περὶ τὸν Κύκλωπα μῦθος.

## N.

Ναός καὶ Σηκὸς διαφέρει. ὁ μὲν γὰρ Ναὸς ἐστὶ Θεῶν, ὁ δὲ Σηκὸς Ἡρώων.

„ Ναύκληροι καὶ Ναύκραροι διαφέρει· Ναύκληροι μὲν γάρ εἰσιν οἱ ναῦς κεκτημένοι. Ναύκραροι δὲ οἱ εἰσπραττόμενοι τὰ δημόσια κτήματα. καὶ ναυκραρεία οἱ τόποι ἐν οἷς ἀνέκειντο τὰ κτήματα. Ἐλέγοντο δὲ ὁμοίως Ναύκληροι καὶ οἱ μισθωτοὶ τῶν συνοικιῶν.

„ Ναυαγία μέν ἐστιν αὐτὴ ἡ τῆς νηὸς διαφθορά. Ναυάγιον δὲ τὸ ἐξ αὐτῆς ἐκβρασθέν.

„ Νεαρὸν νεαλὲς, καὶ Πρόσφατον διαφέρει. νεαρὸν μὲν γάρ ἐστι τὸ νεωστὶ κομισθὲν ὕδωρ, ἔγκειται γὰρ τῇ λέξει τὸ ἀρύειν. Πρόσφατον δὲ τὸ κρέας, ἔγκειται γὰρ ἀπὸ τοῦ φάσαι, ὅ ἐστι τὸ φονεῦσαι, ὅθεν καὶ τὸ φάσγανον. Νεαλὲς δὲ τὸ νεωστὶ ἑαλωκὸς, οἷον ἰχθῦς. δύναται δὲ νεωστὶ ἁλὶ πεπασμένον.

„ Νηρεΐδες τῶν τοῦ Νήρεως θυγατέρων διαφέρει. Δίδυμος ὁμοίως ἐν ὑπομνήματι Βακχυλίδου ἐπινίκων. φησὶ γὰρ κατὰ λέξιν· Εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς νηρεΐδας τῶν τοῦ Νήρεως θυγατέρων. καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι· τὰς δὲ ἐξ ἄλ-

ὡς φησὶ Τρύφων ἐν Δευτέρῳ περὶ Ἀττικῆς Προσῳδίας. Ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσθου, καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφερόμεθα. ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν. Τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσί φασι φυλάττεσθαι, καὶ παρ' Ἴωσι.

„ Μισθὸς Μισθώματος διαφέρει. Μισθὸς μὲν ἐστὶν ὁ δίκαιος μισθός. Μίσθωμα δὲ τὸ ἐπονείδιστον.

„ Μνήμη καὶ Μνεία διαφέρει. ἔτι μὲν γὰρ Μνήμη, τοῦτο οὐ πάντως ἐστὶ Μνεία. ἔτι δὲ Μνεία, τοῦτο εὐθέως ἐστὶ Μνήμη. Ἔστι δὲ Μνήμη γενικὴ τύπωσις ψυχῆς. Μνεία δὲ λόγος κατὰ ἀνανέωσιν λεγόμενος. Ὁ μὲν γὰρ μιμνησκόμενος οὐ πάντως καὶ μνήσκεται· ὁ δὲ μεμνημένος πάντως ἐστὶ μιμνήσκεται. Ἄλλως. Μνήμη ἐστὶν ἡ τῷ μνημονικῷ ἀεὶ συνοῦσα. Μνεία δέ, προγεγονότος τινὸς ὑπόμνησις. ὥστε ὁ τούτοις ἐναλλὰξ χρώμενος, ἁμαρτήσεται.

„ Μνημεῖα καὶ Μνήματα διαφέρει. Μνημεῖα μὲν γὰρ ἔλεγον τὰ μνημόσυνα, Μνήματα δὲ τοὺς τάφους. μνήμη μὲν γὰρ γίνεται νεκροῦ, μνεῖα δὲ ζῶντος.

„ Μοχθηρὸς, Μόχθηρος, καὶ Πόνηρος διαφέρουσι. Μοχθηρὸς μὲν γὰρ ὀξυτόνως, ὁ τὰ ἤθη πονηρός. λέγουσι δὲ ἁπλῶς τὰ φαῦλα καὶ μοχθηρά, πονηρά. ὡς Θουκυδίδης· Πονηρὰ τὰ πράγματα τῶν Ἀθηναίων, ἀντὶ τοῦ φαῦλα. Μόχθηρος δὲ ὁ ἐπίπονος, ὡς καὶ πόνηρος.

„ Μύριοι ἐπὶ ἀριθμοῦ. Μυρίοι δὲ οἱ πολλοί.

„ Μῦθος καὶ Ἱστορία διαφέρει. Ἱστορία μὲν γὰρ, γεγονότα πράγματα περιέχει· ὁ δὲ Μῦθος διαπεπλασμένα

καὶ ψευ-

Μεταμορφοῦσθαι δὲ μεταχαρακτηρισμὸς καὶ μετατύπωσις σώματος εἰς ἕτερον Χαρακτῆρα. Ἀλλοίωσις δὲ, οὐ μόνον μετασχηματισμὸς χαρακτήρων, ὥς τὸ,
Ἀλλοῖός μοι ξεῖν' ἐφάνης ἠὲ πάροιθεν.
ἀλλὰ καὶ τῆς προτέρας ὑπολήψεως ποίησις ἑτέρα. Ἑτεροίωσις δ' ὅταν ἀφ' ἑτέρου σώματος εἰς ἕτερον μεταβάλῃ, οἷον Νιόβη εἰς λίθον.

„ Μεῖραξ, καὶ Μειράκιον, καὶ Μειρακίσκος διαφέρει. Μειράκιον γὰρ καὶ Μειρακίσκος ὁ ἄρσεν· Μεῖραξ δὲ ἡ θήλεια.

„ Μετρεῖσθαι καὶ Ἵστασθαι διαφέρει. Μετρεῖσθαι μὲν γὰρ ἔλεγον οἱ Παλαιοὶ μέτρῳ λαμβάνειν πυρὸν, ἤτοι τοιοῦτον οὐδαμεῖ, ἵνα ἀποδῷ. Ἡσίοδος,

Εὖ μὲν μετρεῖσθαι, εὖ δ' ἀποδοῦναι.

Οὐχὶ ἀργύριον, ἢ χρυσίον· οὐδέπω γὰρ ἐπὶ νομίσματα. Ἵστασθαι δὲ Ὅμηρος,

Δείδω μὴ τὸ χθιζὸν ὑποστήσονται Ἀχαιοὶ χρεῖος. οἷον τὸ γενόμενον αὐτοῖς ἐλάττωμα ἐν τῷ μάχεσθαι, ἀντὶ χρεολυτήσωσι, καὶ ἀντιστήσονται, ὡσπερεὶ ὀφειλόμενον δανός. χρήσασθαι δὲ ἔλεγον ἱμάτιον, ἢ σκεῦος.

„ Μέμψασθαι, Ἐγκαλεῖν, καὶ Ψέγειν διαφέρει. Μέμψις μέν ἐστιν ἀμελοῦντος κατηγορία. Ψόγος δ' ἐπονείδιστος.

„ Μινυρίζειν καὶ Μινύρεσθαι διαφέρει. Μινυρίζειν μὲν γάρ ἐστι τὸ ἠρέμα προσᾴδειν. Μινύρεσθαι δὲ τὸ θρηνεῖν· τὸ δ' αὐτὸ καὶ Κινύρεσθαί φασιν.

„ Μισητὴ, καὶ Μισητὴ διαφέρει, παρὰ τοῖς Ἀττικοῖς,

 ὡς

ζὸς δὲ ἀνδρεῖος. ὡς καὶ ὁ Ποιητής φησι.

Νευρὰ μὲν μαζῷ πέλασσεν, τόξῳ δὲ σίδηρον.

„ Μάρτυς Ἔλεγχος διαφέρει. Μάρτυς μὲν γὰρ ἐπ' ἀγαθοῦ λαμβάνεται. Ἔλεγχος δὲ ἐπὶ φαύλου.

„ Μάχη καὶ Πόλεμος διαφέρει. Μάχη μὲν γάρ ἐστιν ἡ ἐν πολέμοις ἐνέργεια. Πόλεμος δὲ ὁ χρόνος, καὶ ἡ πρὸς τὴν μάχην παρασκευή.

„ Μαρτυρία καὶ Ἐκμαρτυρία διαφέρει. Μαρτυρία μὲν γάρ ἐστιν ἡ τῶν ἐπιδημούντων. Ἐκμαρτυρία δὲ ἡ τῶν ἀποδημούντων, ὡς διασαφεῖ Δείναρχος ἐν τῷ κατὰ Κλεομέδοντος αἰκίας λέγων. Πολλὰ κἀγαθὰ ὦ ἄνδρες δικασταὶ γένοιτο ὑμῖν, καὶ τὸ νομοθετήσαντι, ἐξεῖναι τῶν ἀποδημούντων ἐκμαρτυρίας παρέχεσθαι.

Μάγον τόν τε Φαρμακὸν, ὡς Αἰσχύνης ἐν τῷ κατὰ Κτησιφῶντος, καὶ τὸν περὶ τοὺς θεοὺς Ἱερουργὸν, ὡς Ἡρόδοτος.

„ Μανία μέν ἐστιν, ἔκστασις λογισμοῦ. Λύσσα δὲ ἐπιτεταμένη μανία. Οἶστρος δὲ μανιώδης ἐπιθυμία.

„ Μαντικὴ μέν ἐστιν ἡ τέχνη. Μαντεία δὲ ὁ χρησμός.

„ Μέτοικος καὶ Ἰσοτελὴς διαφέρει. Μέτοικος μὲν γάρ ἐστιν ὁ ὑπόφορος. Ἰσοτελὴς δὲ ὁ μὴ τελῶντι, ἢ ἄρχων.

„ Μεταβάλλεσθαι, καὶ Μεταμορφοῦσθαι, καὶ Ἀλλοιοῦσθαι, καὶ Ἑτεροιοῦσθαι διαφέρει. Μεταβάλλεσθαι μὲν γάρ ἐστι πάθος κοινόν. καὶ γὰρ καιρῶν γίνονται, καὶ πράξεων, καὶ ἀφροδισίων. ὁ γοῦν Εὐελπίδης ἐν Ὀρέστῃ παριστῶν τὴν δύναμιν τῆς λέξεως, φησί.

Μεταβολὴ πάντων γλυκύ.

„ Με-

κοινῶς καὶ τὸ δένδρον, καὶ τὸ θυμιώμενον. Λιβανωτὸς δὲ μόνον τὸ θυμιώμενον.

„ Λογογράφος καὶ Λογοποιὸς διαφέρει. Λογογράφος μὲν γάρ ἐστιν, ὁ τοὺς δικανικοὺς λόγους γράφων. Λογοποιὸς δὲ ὁ λόγους τινὰς καὶ μύθους συντιθείς.

„ Λόγος Ποιήσεως διαφέρει. Λόγος μὲν γάρ ἐστιν ἡ δίχα μέτρου σύνταξις. Ποίησις δὲ ἡ σύνθεσις ἡ μέτρῳ κοσμουμένη.

„ Λυχνοῦχον καὶ Λαμπτῆρα φασὶ τὸν νῦν, Φανὸν δὲ τὴν λαμπάδα. Καὶ οἱ μὲν Κωμικοὶ διὰ τοῦ φ. οἱ δὲ Τραγικοὶ διὰ τοῦ π, Πανός. Λυχνεῖον δὲ ἐκάλουν τὴν λυχνίαν.

„ Λυχνίον Λύχνου διαφέρει. Λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀφροδίτης γοναῖς. Λύχνος δὲ ὁ φανός. Μένανδρος ἐν νομοθέταις·

Ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθος.

## Μ

Μάχαιρα καὶ Μαχαιρὶς διαφέρει. Μάχαιραν μὲν γὰρ ὁμοίως ἡμῖν λέγουσιν οἱ Ἀττικοί. Μαχαιρίδας δὲ τὰς τῶν κουρέων.

„ Μακρολόγος καὶ Πολυλόγος διαφέρει· Μακρολόγος μὲν γάρ ἐστιν ὁ περὶ ὀλίγων πολλὰ λέγων. Πολυλόγος δὲ ὁ περὶ πολλῶν πολλὰ λέγων.

!„ Μαθὸς Μαζοῦ διαφέρει. Μαθὸς μὲν γάρ ἐστιν ὁ γυναικεῖος. κυρίως δὲ τὸ οἷον μεστὸς εἶναι γάλακτος. Μα-

„ Λέπας καὶ Λεπὰς διαφέρει. Λέπας μὲν γὰρ βαρυτόνως ἐστὶν ὄρους ἀπόσπασμα. Λεπὰς δὲ ὀξυτόνως, ἐν ταῖς πέτραις γινόμενόν τι ὄστρεον.

„ Λέμβοι καὶ Λέμφοι διαφέρει. Λέμβος μὲν γάρ ἐστι πλοιαρίου τινὸς εἶδος. Λέμφος δὲ παρὰ Ἀττικοῖς οἱ κορυζώδεις ἐλέγοντο καὶ μυζώδεις. Μένανδρος ὑποβολιμαίοις.

Γέρων ἀμέμικτ' ἄθλιος λέμφος.

„ Λέχος καὶ Εὐνὴ διαφέρει. Λέχος μὲν γάρ ἐστιν ἡ κλίνη· Εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή. φησὶ γοῦν Πιωέων. Ἔνθα οἱ ἐκθεῖσα πυκνὸν λέχος ἔμβαλετ' εὐνήν. Δέμνια καὶ χλαίνας.

„ Λείαν καὶ Λίαν διαφέρει. Λεία μὲν γὰρ διφθόγγου σημαίνει τὴν ἐπέλασιν τῶν τετραπόδων.

Ληΐδα δ' ἐκ πεδίου συνελάσαμεν.

Διὰ δὲ τοῦ ι, ἐπίρρημα δηλοῖ ἐπιτάσεως. ἐάν τε ἐκτείνηται, ἐάν τε συστέλληται.

„ Λῆμα καὶ Λῆμμα διαφέρει. Λῆμα μὲν γάρ ἐστι δι' ἑνὸς μ, τὸ παράστημα τῆς τύχης. λῆμμα δὲ διὰ δύο μμ, τὸ λαμβανόμενον.

„ Λειτουργεῖν διὰ τοῦ η, καὶ λιτουργεῖν διὰ τοῦ ι διαφέρει, φησὶ Δίδυμος ἐν ὑπομνήματι δευτέρας Ἰλιάδος. τὸ μὲν γὰρ Λητουργεῖν τὸ τῷ δήμῳ ὑπηρετεῖν. λῆτον γάρ φασι τὸ δημόσιον.

Λήϊτον ἀμφεπένοντο.

Τὸ δὲ Λιτουργεῖν κακὰ λέγειν.

„ Λίβανος καὶ Λιβανωτὸς διαφέρει. Λίβανος μὲν γὰρ

κοινῶς

παραλλήλως ἔταξε. Νυῦ δὲ Κωφὸς ὁ βεβλαμμένος τ̀ ἀκοιὼ λέγεται.

„ Κωμῳδὸς καὶ Τραγῳδὸς λέγεται ὁ χορευτὴς, καὶ ὑποκριτής. Κωμῳδοποιὸς δὲ καὶ Τραγῳδοποιὸς οἱ Ποιηταί. ἐνίοτε δὲ συγχέουσι τὴν διαφοράν.

## Λ

Λαγχάνειν καὶ Κληρώσασθαι διαφέρει. Λαγχάνειν μὲν εἰς, οὗ ἂν ὁ κλῆρος ἔλθῃ. Ὅμηρος· Κλήρῳ νυῦ πεπάλαχθε διαμπερὲς ὥσκε λάχησι. Κληροῦνται δὲ οἱ καθιστάντες εἰς τ̀ κλῆρον. Καὶ λαγχάνειν μέν ἐστι τὸ ἐκ τῶν κληρουμένων τοῦ προκειμένου τυχεῖν. Κληρώσασθαι δὲ, τὸ κλήρῳ χρήσασθαι.

„ Λαλεῖν, καὶ Λέγειν, καὶ Διαλέγεσθαι διαφέρει. Λέγειν μὲν τὸ τεταγμένως προφέρεσθαι τὸν λόγον. Λαλεῖν δὲ τὸ ἀτάκτως ἐκφέρειν τὰ ὑποπίπτοντα ῥήματα· Διαλέγεσθαι δὲ τὸ ἀμείβεσθαι, καὶ λόγον ἀντὶ λόγου παραδιδόναι πρὸς τὸν ἀντιλέγοντα. Πλάτων ἐν σοφιστῇ. Οἱ δ' ἄλλοι Φιλόσοφοι διαιροῦσιν οὕτω. Λαλεῖν μὲν τοὺς ἀτάκτως ἐκφέροντας ὁνπεροῦν λόγον. Διαλέγεσθαι δὲ, καὶ Λέγειν τοὺς μετ' ἐπιμελείας λέγοντας. Διαφορὰν δὲ τῶν δύο τούτων λέγουσι, καὶ τὸ μὲν διεξιέναι λόγον συναιρόντος, λέγειν φασί. Διαλέγεσθαι δὲ τὸ ἀμειβόμενον τοὺς λόγους κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ποιεῖσθαι.

„ Λαβεῖν, καὶ Δέξασθαι διαφέρει. Λαβεῖν μὲν γάρ ἐστι τὸ κείμενόν τι ἀνελέσθαι. Δέξασθαι δὲ τὸ διδόμενον ἐκ χειρός.

„ Κτῆσις μὲν ἐςὶ πᾶσα ἡ ὐσία. Κτῆμα, δ᾽, ἕν τι.

„ Κραιπάλη κ) Μέθη διαφέρει. Κραιπάλη μὲν γάρ ἐςιν ἡ χθεσινὴ μέθη. Μέθη δὲ ἡ τῆς αὐτῆς ἡμέρας γινομένη οἴνωσις.

„ Κύπτειν κ) Κυπτάζειν διαφέρει. Κύπτειν μὲν γάρ ἐςι τὸ ἐπικάμπτεσθαι τῷ σώματι. Κυπτάζειν δέ ἐςι τὸ ςραγγεύεσθαι. Α᾽ριςοφάνης ἐν Νεφέλαις. Χώρει, τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.

„ Κυβεύειν καὶ Πεσσεύειν διαφέρει. Κυβεύειν γὰρ ἐςι τὸ διὰ ψήφων ἢ ἀςραγάλων παίζειν. πεσσεύειν δὲ τὸ διὰ ψήφων.

„ Κρίνειν τοῦ Διακρίνειν διαφέρει. Κρίνειν μὲν γὰρ τὸ κυρίως δοκιμάζειν. Διακρίνειν δὲ τὸ πρᾶγμα πράγματος διϊςᾶν καὶ χωρίζειν.

„ Κύειν καὶ Τίκτειν διαφέρει. Κύειν μὲν τὸ ἔγκυον εἶναι. Τίκτειν δὲ τὸ ἀπαλλάττεσθαι τοῦ κύειν, Εὐριπίδης ἐναντίον·

Η᾽ κύουσα τίκτω, εἶπεν,
Η᾽ νὶκ᾽ ἡγόμην πάλιν.

„ Κύριος καὶ Δεσπότης διαφέρει. Κύριος γὰρ τῆς γυναικὸς ὁ ἀνήρ, καὶ τῶν υἱῶν ὁ πατήρ. Δεσπότης δ᾽ ἀργυρωνήτων τινῶν ἄλλων.

„ Κωφὸς κ) Ε᾽ννεὸς ὁ αὐτὸς παρὰ τοῖς παλαιοῖς ἐλέγετο ὁ μὴ φθεγγόμενος. Ο῞μηρος.

Κύματι κωφῷ.
Τὸ μὴ ἀποτελοῦντι ἦχον, καὶ ἡσυχία,
Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω·

Παραλ-

δὲ, πρόσωπον καὶ πόδας. Πλῦναι δ' ἐσθῆτα.

„ Κόρδαξ καὶ Κάρδαξ διαφέρει. Κόρδαξ μὲν γάρ ἐστιν εἶδος ὀρχήσεως. Κάρδαξ δέ τις ἐκαλεῖτο στρατιώτης· βάρβαρος δὲ ἡ λέξις. Καλεῖται δὲ ἡ μὲν στρατηγικὴ ὄρχησις, Ἐμμέλεια· Σίκινις δὲ, ἡ σατυρικὴ. Κόρδαξ δὲ ἡ κωμική.

„ Κομιδῆ καὶ Κομιδὴ διαφέρει. Κομιδῆ γὰρ περισπωμένως ἐπίρρημα, καὶ σημαίνει τὸ παντελῶς. Κομιδὴ ὀξυτόνως ὄνομα, οἷον οὐ σφῷιν κομιδή. Λέγεται δὲ ἡ ἀπόληψίς τινος κομιδὴ, παρὰ τὸ κομίσασθαι καὶ ἀπολαβεῖν.

„ Κόπτει καὶ Ψοφεῖ διαφέρει. Κόπτει μὲν γὰρ τὴν θύραν ὁ ἔξωθεν. Ψοφεῖ δὲ ὁ ἔσωθεν ἐξιών.

„ Κομᾶν καὶ κουριᾶν διαφέρει. Κομᾶν μὲν γάρ ἐστι τὸ ἐπί τινος σεμνύνεσθαι τῶν καλῶς πεπραγμένων, καὶ τρέφειν τὴν κόμην. Κουριᾶν δὲ, τὸ κουρᾶς ἐπιδεῖσθαι, καὶ τὴν κόμην καθιέναι.

„ Κόρυδος καὶ Κορύδαλος διαφέρει. Κόρυδος μὲν γὰρ, τὸ ὄρνεον. λέγεται δὲ γῆς ἱερόν. Κορύδαλος δὲ δῆμος Ἀθήνησιν, ἐν ᾧ Σωτῆρος Κόρης ἱερόν.

„ Κόνις καὶ Κονὶς διαφέρει. τὸ γὰρ λεπτότατον τῆς γῆς κονὶς, ὀξύνεται. τὸ δὲ ἐπὶ τῆς κεφαλῆς γινόμενον φθειρῶδες, βαρύνεται.

„ Κόσμος Οἰκουμένης διαφέρει. τὸ μὲν, περιέχει αἰκουμένην καὶ ἄστρα. τὸ δὲ, γῆν μόνον τὴν φανεράν.

„ Κτήματα καὶ Ἐπικτήματα διαφέρει. Κτήματα μὲν γάρ ἐστι τὰ ἐν τῇ οἰκίᾳ. Ἐπικτήματα δὲ, τὰ ἐν ἀλλοτρίᾳ.

„ Κτη-

καρπός. Ἀλλὰ θύε τὰς κέδρους.

„ Κηρύξαι, Ἀποκηρύξαι, καὶ Ἐπικηρύξαι διαφέρει. Κηρύξαι μὲν γὰρ καὶ ἐπικηρύξαι λέγουσιν ἐπὶ τοῦ ἀπὸ κήρυκα ἀποδίδοσθαί τι. Μένανδρος,

Ἀπεκήρυξεν αὐτὴν ἀγαγών,

οἷον, ὑπὸ κήρυκι ἐπώλησε. Ἐπικηρύξαι δὲ, τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι καὶ ἀνάγοντι, καὶ ἀποκτείναντί τινα τῶν δικασθέντων.

„ Κιβωτὸς καὶ Κίστη διαφέρει. Κιβωτὸς μὲν γάρ ἐστιν, ἡ ξυλίνη, διὸ καὶ ἀντίπηξ καλεῖται. Κίστη δὲ, ἡ πλεκτή.

„ Κίνησις Περιφορᾶς διαφέρει. Κίνησις μὲν γάρ ἐστι κυρίως ἡ ἐκ τόπου εἰς τόπον μετάβασις. Περιφορὰ δὲ, ἡ περὶ τὸν αὐτὸν τόπον στροφή.

„ Κίθαρις καὶ Κιθάρα διαφέρει, φησὶν Ἀριστόξενος, ἐν τῷ περὶ ὀργάνου. Κίθαρις γάρ ἐστιν ἡ λύρα, καὶ οἱ χρώμενοι αὐτῇ, Κιθαρισταὶ, οὓς ἡμεῖς Λυρῳδοὺς φαμέν. Κιθάρα δὲ, ᾗ χρῆται ὁ κιθαρῳδός. Αἰσχύνης ἐν τῷ κατὰ Τιμάρχου διαστέλλει, καὶ φησὶν οὕτω· Περὶ αὐτῷ εἶχε κιθαριστὰς καὶ κιθαρῳδούς. Κιθαριστὴς μέν ἐστιν ὁ μόνον ψάλλων. Κιθαρῳδὸς δὲ, ὁ ᾄδων καὶ ψάλλων.

„ Κλῆσις καὶ Πρόκλησις διαφέρει. Κλῆσις μὲν γάρ ἐστιν, ἡ εἰς ὁτιοῦν τῶν δικαστηρίων γενομένη. Πρόκλησις δὲ, ἡ εἰς Ἄρειον Πάγον.

„ Κλῆμα Κλίματος διαφέρει. Κλῆμα μὲν γάρ ἐστιν εἶδος ἀμπέλου. Κλίμα δὲ, μέρος τι τοῦ Κόσμου.

„ Κλύσαι μὲν λέγεται ποτήριον ἢ ἀγγεῖον. Νίψαι δὲ,

δὲ, πολλῶν καιρῶν περιοχὴ καὶ σύλληψις. Ἄλλως, ὁ μὲν Καιρὸς δηλοῖ ποιότητα χρόνου, οἷον, ὅτε πόλεμος ἦν. Χρόνος δὲ, ποσότητα. οἷον, πρὸ δέκα χρόνων, ἢ μετὰ δέκα ἔτη.

„ Κάλλαια καὶ Κάλλη διαφέρει. Κάλλαια μὲν γὰρ, οἱ τῶν ἀλεκτρυόνων πώγωνες· Κάλλη δὲ, τὰ ἄνθη τῶν βαμμάτων.

„ Κάθησον τοῦ Κάθισον διαφέρει. Κάθησον μὲν γὰρ ἔρουμεν αὐτῷ τινι περὶ ἑαυτοῦ κελεύοντες. Κάθισον δὲ περὶ ἑτέρου, κάθισον αὐτόν.

„ Κακὸς Πονηροῦ διαφέρει. Ὥσπερ ὁ ἄκακος τοῦ ἀγαθοῦ. Κακὸς μὲν γὰρ ὁ πανοῦργος, Πονηρὸς δὲ ὁ δραστικὸς κακοῦ.

„ Κακοήθεια μέν ἐστι κακία κεκρυμμένη. Κακοτροπία δὲ, ποικίλη καὶ παντοδαπὴς πανουργία.

„ Κέλης καὶ Ἐπακτροκέλης διαφέρει. Κέλης μὲν γάρ ἐστι πηδάλιόντι μικρόν. Ἐπακτροκέλης δέ, κακοῦργον καὶ λῃστρικὸν σκάφος, μεταξὺ ἐπακτρίδος καὶ κέλητος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· Ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ, καὶ τὸ μηδὲν ἱκανὸν εἶναι, ταῦτα πληροῖ τὰ λῃστήρια, ταῦτα εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει. Ἐπακτῆρες δὲ κυνηγέται καλοῦνται.

„ Κέλυφος, Κελύφανον, καὶ Ἔλυτρον διαφέρει. Κέλυφος μὲν γὰρ λέγεται ἐπὶ τῶν ὀστρακοδέρμων, οἷον τῶν κογχυλίων· Κελύφανον δὲ, ἐπὶ τῶν τραγημάτων καὶ ὀσπρίων. Ἔλυτρον δὲ, τὸ ὑγρὸν χώρημα.

„ Κέδρος θηλυκῶς μὲν, τὸ δένδρον· ἀρσενικῶς δὲ, ὁ

„ Καταβολὴ καὶ Εἰσβολὴ διαφέρει. Καταβολὴ μὲν γὰρ, ἡ ἔκτισις τοῦ εἰσφερομένου ἀργυρίου. Εἰσβολὴ δὲ περίοδος τοῦ πυρετοῦ.

„ Κάταμμα καὶ Κάταγμα διαφέρει. Κάταμμα μὲν, τὸ ἐκτεταμένως τὸ κατεαγὸς καὶ συντετριμμένον. Κάταγμα δὲ βραχέως, τὸ τοῦ ἔργου ἕλκυσμα.

„ Καταχύματα καὶ Καταχύσματα διαφέρει. Καταχύματα μὲν γὰρ χωρὶς τοῦ σ, τὰ καταχεόμενα ὕδατα ἐπὶ λουτρῶνος, καὶ τῶν ἄλλων ὁμοίων. Καταχύσματα δὲ σὺν τῷ σ, αἱ ἰσχάδες, καὶ τὰ ἄλλα τραγήματα τῶν νέων, ἢ τῶν δούλων, ἃ κατέχεον. Ἀριστοφάνης, εἶτ᾽ οὐχὶ δέξη δῆτα καταχύσματα καὶ Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν. Ἀλλ᾽ αὐτὸς μὲν οὐκ ὤκνησε τὴν δέσποιναν αὐ γῆμαι, ἣ τὰ καταχύσματα αὐτοῦ κατέχευε τότε, ἡνίκα ἐωνήθη.

„ Κάδος καὶ Καδίσκος διαφέρει. Κάδος μὲν λέγεται ᾧ ἐκ τοῦ φρέατος ἀρύουσι τὸ ὕδωρ. Καδίσκος δὲ, ἀγγεῖον, εἰς ὃ τὰς ψήφους ἐμβάλλουσι.

„ Καθάρσια καὶ Καθάρματα διαφέρει. Καθάρσια μὲν γὰρ λέγονται τὰ ἱερὰ, καὶ τὰ ἄλλα οἷς καθαίρονται. Καθάρματα δὲ, τὰ μετὰ τὸ καθαρθῆναι ἀπορριπτόμενα.

„ Κανθαρίζειν καὶ Τονθορίζειν διαφέρει. Κανθαρίζειν μὲν γὰρ λέγουσιν οἱ Ἀττικοὶ τὸ τρέμμειν. Τονθορίζειν δὲ, τὸ ψιθυρίζειν καὶ γογγύζειν.

„ Καιρὸς καὶ Χρόνος διαφέρει. Καιρὸς μὲν γάρ ἐστι μέρος χρόνου, οἷον μεμετρημένων ἡμερῶν σύστημα. Χρόνος δὲ

Ἴθι μοῦνον ἐξορμωμένη, αὐτὶ τῷ γίνου.

„ Ἱστοριογράφος Συγγραφέως διαφέρει. Ἱστοριογράφος μὲν γάρ ἐστιν, ὁ τὰ πρὸ αὐτοῦ γεγονότα συγγραφόμενος, ὡς Ἡρόδοτος. Συγγραφεὺς δὲ, ὁ τὰ ἐφ' ἑαυτοῦ, ὡς Θουκυδίδης.

„ Ἱστοδόκη καὶ Ἱστοπέδη διαφέρουσιν. Ἱστοδόκη μὲν γάρ ἐστιν ἐφ' ἧς ὁ ἱστὸς κατακλίνεται. Ὅμηρος,

Ἱστὸν δ' ἱστοδόκῃ πέλασαν. Ἱστοπέδη δὲ, ὁ ἐν μέσῳ τῆς νεὼς κοῖλος τόπος. τινὲς δὲ Λινίδα καλοῦσιν, εἰς ὃν ὁ ἱστὸς ἐντίθεται.

ἀλλά με δεσμῷ
Δῆσαι ἐν ἀργαλέῳ, ὄφρ' ἔμπεδον αὐτόθι μίμνω.
Ὀρθὸν ἐν ἱστοπέδῃ.

„ Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γὰρ, οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες. Ἰταλιῶται δὲ, ὁπόσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα. τὰ αὐτὰ καὶ ἐπὶ τῶν Σικελιωτῶν.

## K.

ΚΑτοίκησις, καὶ Κατοίκισις διαφέρει, ὥς φησιν Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν τῷ τρίτῳ περὶ Κατεψευσμένων. Κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ' ἑτέρων γινομένη ἵδρυσις. Κατοίκησις δὲ, ὅταν αὐτοί τινες οἰκήσωσι τόπον ἢ πόλιν τινὰ καταλαβόντες. οἷον, Ἀθηναῖοι κατῴκησαν μὲν τὴν ἀκρόπολιν, κατῴκισαν δὲ Ἴωνας. καὶ ἔστι παρὰ μὲν τὸ κατοικεῖν Κατοίκησις. παρὰ δὲ τὸ κατοικίζειν, ἡ κατοικισις.

„ Κα-

„ Ἴσοι καὶ Κοινοὶ διαφέρουσι. Πλάτων ἐν Πρωταγόρᾳ. χρὴ γὰρ τοὺς ἐν τοῖσδε λόγοις παραγενομένους, κοινοὺς μὲν εἶναι ἀμφοῖν τοῖν διαλεγομένοιν ἀκροατάς, ἴσους δὲ μή. ἔστι γὰρ οὐ ταυτόν. κοινὸν μὲν γὰρ ἀκοῦσαι ἀμφοτέρων χρή, μὴ ἴσον δὲ εἶναι ἑκατέρῳ· ἀλλὰ τῷ μὲν σοφωτέρῳ, πλέον· τῷ δὲ ἀμαθεστέρῳ, ἔλασσον.

„ Ἰσοτελὴς καὶ Μέτοικος διαφέρει. Ἰσοτελὴς μὲν γάρ, ὁ τετιμημένος· Μέτοικος δέ, ὁ ἐν τῷ ἴσῳ τάγματι τοῖς πολίταις· καὶ τὸ μὲν μετοίκιον μὴ τελῶν, πάντα δὲ ἔχων τὰ αὐτὰ τοῖς πολίταις, πλὴν τοῦ ἄρχειν. Μέτοικος δέ, ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον. Ἐτέλει δὲ ὁ μέτοικος κατ' ἐνιαυτὸν μετοικίου δραχμὰς δέκα, καὶ ἐν τῇ τῶν Ἀθηναίων πομπῇ σκάφην ἔφερε κηρία ἔχουσαν. Ὅθεν καὶ σκαφηφόρους ἔλεγον τοὺς μετοίκους. πολλάκις δὲ καὶ συνεστράτευον τοῖς Ἀθηναίοις.

„ Ἰσθμὸς καὶ Πορθμὸς διαφέρει. Ἰσθμὸς μὲν γάρ ἐστι γῆς στενῆς δίοδος, ἑκατέρωθεν θαλάσσης περιερχομένης. Πορθμὸς δέ ἐστι στενὸς θαλάσσης πόρος, ἑκατέρωθεν ὑπὸ γῆς περιερχόμενος.

„ Ἴσθι καὶ Γίνωσκε διαφέρει. Ἴσθι μὲν γάρ, ἐπὶ τοῦ γίνωσκε τάσσεται. αὐτὴ δ' οἴη, ἴσθι, ἀντὶ τοῦ γίνωσκε. καὶ τὸ πληθυντικὸν ἴσθετε, ἀντὶ γινώσκετε. Ὁ Μένανδρος ἐν Ἥρωι,

Εὖ ἴσθι, κἀγὼ τοῦτο συγχωρήσομαι.

Τάσσουσι δὲ ὅμως καὶ ἐπὶ τοῦ ἰδίου τὸ ἴσθι. Εὔφημος,

Ἴσθι

δὲ τὸ ἱερὸν, ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος, Καθάπερ ἔτι καὶ νῦν, ὅταν χρηστήρια θύωσιν ἐν τῷ ἱερῷ.

„ Ἱερὰ, τοὺς τε περιβόλους τῶν Ναῶν, καὶ τὰ σφάγια, καὶ τὰ ὀστᾶ τῶν ἀνθρώπων, ὡς Ὑπερίδης ἐν τῷ κατὰ Ἀρχιστρατίδου· καὶ τὰ ξόανα, ὡς Θεόπομπος ἐν εἰκοστῇ ἕκτῃ.

„ Ἱκέσθαι καὶ Ἀφικέσθαι διαφέρει, ὥς φησιν Ἡρακλείδης. Ἱκέσθαι μὲν γάρ ἐστι, τὸ ἐλθεῖν. Ἀφικέσθαι δὲ, τὸ ἐπανελθεῖν. Ὅμηρος τὴν διαφορὰν φησιν.

οὐδ' αὖθις ἀφίκετο πατρίδα γαῖαν.

καὶ, Ἵκετο δ' ἐς Μαραθῶνα, καὶ εὐρυάγυιαν Ἀθήνην.

„ Ἰδουμαῖοι καὶ Ἰουδαῖοι διαφέρουσιν, ὥς φησι Πτολεμαῖος ἐν πρώτῳ περὶ Ἡρώδου τοῦ Βασιλέως. Ἰουδαῖοι μὲν γάρ εἰσιν, οἱ ἐξ ἀρχῆς φυσικοί. Ἰδουμαῖοι δὲ, τὸ μὲν ἀρχῆθεν οὐκ Ἰουδαῖοι, ἀλλὰ Φοίνικες, καὶ Σύροι. κρατηθέντες δὲ ὑπ' αὐτῶν, καὶ ἀναγκασθέντες περιτέμνεσθαι, καὶ συντελεῖν εἰς τὸ ἔθος, καὶ τὰ αὐτὰ νόμιμα ἡγεῖσθαι, ἐκλήθησαν Ἰουδαῖοι.

„ Ἶπες, καὶ Θρίπες, καὶ Κίες, καὶ Ἴκες διαφέρουσιν. Ἶπες μὲν γὰρ λέγονται θηρίδια τὰ διαβρωτικὰ τῶν κεράτων. Ὅμηρος,

μὴ κέρα ἶπες ἔδοιεν.

Θρίπες δὲ, τὰ ἐσθίοντα τὰ ξύλα· καὶ θριπηδέστατα, τὰ ὑπὸ θριπῶν βεβρωμένα ξύλα, οἷς καὶ ἀντὶ σφραγίδων ἐχρῶντο, ὅτι ἦν δυσπαράπιστα. Κίες δὲ, τὰ ἐν ταῖς κριθαῖς καὶ ἐν τοῖς πυροῖς θηρίδια. Ἴκες δὲ, τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. Ἀλκμὰν, ποικίλον ἶκα, τὸν ὀφθαλμῶν ἀμπέλων ὀλετῆρα.

„ Ἴσοι

„ Θράσος καὶ Θάρσος διαφέρει. Θράσος μὲν γάρ ἐστιν ἡ ἄλογος ὁρμὴ· Θάρσος δὲ, ἔλλογος ὁρμή.

„ Θύρα καὶ Θυραία διαφέρει. Θύρα μὲν γάρ ἐστιν, ἡ ἐξ ἀρχῆς γενομένη.
Μένανδρος ἐν παρακαταθήκῃ· Θύραν ἔξελε. Θυραία δὲ, τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.

„ Θύεσθαι τοῦ Σφάττεσθαι διαφέρει. Θύεσθαι μὲν γάρ ἐστιν, ἐπὶ τιμῇ Θεοῦ· καὶ τὸ μαντεύεσθαι ἐπὶ τιμῇ διὰ σπλάγχνων θύεσθαι φαμέν. Σφάττεσθαι δὲ τὸ δι᾽ ἥν τινα οὖν αἰτίαν φονεύσασθαι. καὶ τὸ μὲν ἐπ᾽ ἀλόγου, τὸ δ᾽ ἐπ᾽ ἀνθρώπου τάττεται.

„ Θύουσι καὶ Θύονται διαφέρει. Θύουσι μὲν γὰρ οἱ σφάττοντες τὰ ἱερεῖα. Θύονται δὲ οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι.

„ Θύρα καὶ Θύραι διαφέρουσι. Θύρα μὲν γάρ ἐστι τὸ ἐπίθεμα τὸ ἐκ τῶν σανίδων· Θύραι δὲ τὸ ἄνοιγμα αὐτὸ, καὶ τὰ χαλάσματα τῆς θύρας.

„ Θυμὸς μέν ἐστι πρόσκαιρος, Ὀργὴ δὲ πολυχρόνιος μνησικακία.

## I

Ἱερεῦσαι καὶ Καθιερεῦσαι λέγουσιν ἐπὶ τῶν θυομένων ἱερείων.

„ Ἱερῶσαι καὶ Καθιερῶσαι, ἐπὶ τῶν ἀνατιθεμένων.

„ Ἱερεῖον καὶ χρηστήριον διαφέρει. Ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν. Χρηστήριον

δὲ

„ Θέσθαι καὶ Ὑποθέσθαι διαφέρει. Θέσθαι μὲν γάρ ἐστι τὸ λαβεῖν ὑποθήκην. Ὑποθέσθαι δὲ, τὸ δοῦναι ὑποθήκην.

„ Θέλειν καὶ Βούλεσθαι, ἐὰν λέγῃ τὶς, δηλώσει ὅτι ἀκουσίως τε καὶ εὐλόγως ὀρέγεταί τινος.

„ Θερίζειν, τό, τε Διατρίβειν τὴν τοῦ θέρους ὥραν (ὡς τὸ χειμάζειν) καὶ τὸ τοὺς δημητριακοὺς καρποὺς συλλέξαι.

„ Θηβαῖοι καὶ Θηβαγενεῖς διαφέρουσιν. καθὼς Δίδυμος ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου φησίν· Καὶ τὸν Τρίποδα ἀπὸ τούτου Θηβαγενεῖς πέμπουσι τὸν χρύσεον εἰς Ἰσμήνιον πρῶτον. Τίς δ᾽ ἐστὶ διαφορὰ Θηβαγενέων πρὸς Θηβαίους, ἔφορος ἐν τῇ δευτέρᾳ φησί. οὗτοι μὲν οὖν συνετάχθησαν εἰς τὴν Βοιωτίαν· τοὺς δὲ τοῖς Ἀθηναίοις ὁμόρους προσοικοῦντας ἰδίᾳ Θηβαῖοι προσηγάγοντο πολλοῖς ἔτεσιν. Ὕστερον δὲ οἱ σύμμικτοι ἦσαν πολλαχόθεν, ἐνέμοντο δὲ τὴν ὑπὸ τὸν Κιθαιρῶνα χώραν, καὶ τὴν ἀπομαντίον τῆς Εὐβοίας. Ἐκαλοῦντο δὲ Θηβαγενεῖς, ὅτι προσεγένοντο τοῖς ἄλλοις Βοιωτοῖς διὰ Θηβαίων.

„ Θὴς, Λάτρις, Ἀμφίπολος, Ἄτμενος διαφέρουσι. Θὴς μὲν γὰρ, ὁ ἐπὶ μισθῷ δουλεύων.

Θῆτές τε δμῶές τε.

Λάτρις δὲ, ὁ κατὰ πολεμικὴν περίστασιν ἁλοὺς, καὶ ἐπὶ δουλείαν προσαχθείς. Ἀμφίπολος δὲ κοινὸν ὄνομα, ἄρρενος καὶ θηλείας δούλης. Ἄτμενος δὲ, οὐ μόνον ὁ δοῦλος, ἀλλὰ καὶ ὁ ὑποτεταγμένος ἐλεύθερος.

τὸ καταγινώσκω, καὶ κατηγορῶ. οἷον θαυμάζω τῶν ταύτην ἐχόντων τὴν γνώμην. Αἰτιατικῇ δὲ, τὸ ἐπαινῶ. οἷον θαυμάζω τοὺς οὕτω φρονοῦντας.

„ Θεημαχία καὶ Θεομαχία διαφέρει. Θεημαχία μὲν γάρ ἐστιν ἡ πρὸς Θεὸν μάχη· Θεομαχία, τῶν αὐτῶν θεῶν πρὸς ἀλλήλους μάχη.

„ Θεωρὸς καὶ Θεατὴς διαφέρει. Θεωρὸς μὲν γάρ ἐστιν ὁ εἰς θεοὺς πεμπόμενος. Θεατὴς δὲ, ὁ ἀγώνων καὶ θεάτρων.

Πότερον θεατὴς, ἢ χάριν μαντευμάτων;

καὶ Αἰσχύλος,

Βοᾷς, τοιοῦδε πράγματος θεωρὸς ὤν.

Ἁμαρτάνουσιν οὖν οἱ λέγοντες, θεωρῆσαί με δεῖ τὸν ἀγῶνα δέον εἰπεῖν, θεάσασθαι. Διασέλλει οὖν τοῦτο ἐπιμελῶς Λυσιμαχίδης ἐν τῷ πρὸς Καικίλιον περὶ τῶν παρὰ τοῖς Ἀττικοῖς Ῥητόρων, καὶ πολλῶν παραθέσεις ποιεῖται. καὶ ἔστι τὸ θεάσασθαι ὥσπερ πρόκειται παρὰ τὴν θέαν. τὸ δὲ θεωρεῖν (φησὶν) οὐκ ἄλλο τι, ἢ τὸ τῶν θεῶν ὤραν· τοῦτο δὲ τὸ φροντίζειν. Διὸ καὶ τοὺς τῶν θεαμάτων ἕνεκα πεμπομένους, σὺν θυσίαις δὲ καὶ εὐσεβείᾳ, πάντας ὠνόμαζον θεωρούς. καὶ τὸ τοῖς Ἀθηναίοις διδόμενον θεωρικὸν, οὐχὶ τὰς θέας, (ὡς Καικίλιος ὑπέλαβεν) ἀλλὰ διὰ τὸ ἐν ταῖς Ἑορταῖς εἰς τοὺς θεοὺς εὐσεβεῖν, καὶ ἐπιθεῖν, καὶ εὐφραίνεσθαι.

„ Θεράποντες καὶ Οἰκέται διαφέρουσι. Θεράποντες μὲν γὰρ οἱ ὑποτεταγμένοι φίλοι, ἐφ᾽ ὧν θεραπεύονται οἱ προσήκοντες. Οἰκέται δὲ δεσποτῶν.

„ Θέσθαι

παρῳχημένον δηλοῖ χρόνον. τὸ δὲ Ἦς, τὸν Μέλλοντα. Ὅμηρος,

Δηίφοβ' ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα.

Ἐπὶ δὲ τοῦ ἦς, Μένανδρος ἐν Ψευδηρακλεῖ,

Ὑπὲρ μὲν οἴνου, μηδὲ γὰρ γρὺ πτηθῆ λέγε,
Ἂν τἄλλα δ' ἦς ἄμεμπτος, εἰς τὴν ἕκτην
Βοηδρομιῶνος ἐνδελεχῶς ἕξεις ἀεί.

καὶ καθόλου πάντοτε οὕτω λέγεται ἐπὶ τοῦ Μέλλοντος, καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν οἷον, ἐὰν νοῆς, ἐὰν λαλῆς, ὅπως λαλῆς, ἐὰν ἦς ἀγαθός. ὁ γοῦν λέγων πρός τινα, ἦς ποτε πλούσιος· ἀγνοήσει τὴν διαφοράν, δέον φάναι, ἦσθα. Τὸ δὲ ἦ ἀντὶ τοῦ ἔφη, τάττει Ὅμηρος,

Ἦ, καὶ κυανέησιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

Διαφέρει δὲ τὰ ῥήματα τῇ δε, ὅτι τὸ μὲν ἐπὶ πρώτου προσώπου μόνον τάσσεται· τὸ δὲ ἔφη, ἐπὶ τριῶν, ὡς ἔφημεν.

„ Ἡσυχία, ὅτε μὲν Σιωπὴν σημαίνει, ὅτε δὲ τὴν Ἐπιείκειαν. ὁπότε φαμὲν· ἐν πολλῇ διάγειν ἡσυχίᾳ.

## Θ

Θαλαμὰς ὡς ἀγαθάς, καὶ Θαλάμας, ὡς μεγάλας, διαφέρειν φησὶ Τρύφων παρὰ τοῖς Ἀττικοῖς, ἐν δευτέρῳ περὶ Ἀττικῆς Προσῳδίας. Ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, δηλώσει τὸ τῶν Διοσκούρων Ἱερόν. ἐὰν δὲ βαρυτονήσωμεν, τὰς καταδύσεις μηνύει.

„ Θαυμάζω, γενικῇ μὲν συντασσόμενον, σημαίνει

Τρίτος δὲ, ὁ φθόνῳ ὅμοιος.

„ Ζυγὸς, ἀρσενικῶς μὲν ἐπὶ τῶν βοῶν· θηλυκῶς δὲ ἐπὶ τῶν σταθμῶν.

„ Ζώνη καὶ Ζώνιον διαφέρει. Ζώνη μὲν γάρ ἐστιν, ἡ τοῦ ἀνδρός. Ζώνιον δὲ, ἡ τῆς γυναικός.

## Η

Ἠγέρθη καὶ Ἀνέστη διαφέρει. Ἠγέρθη μὲν λεκτέον ἀπὸ ὕπνου. Ἀνέστη δὲ ἀπὸ κλίνης.

„ Ἦθος μέν ἐστιν ἀρχὴ ἐπιτηδεύματος. Τρόπος δὲ ἐπίστασις πράξεως κατὰ στάσιν καὶ ἀναστροφήν.

„ Ἤλπισαν καὶ Ἐπήλπισαν διαφέρει· ἤλπισαν μὲν γὰρ αὐτοί τινας ἐλπίδας ἔχοντες περί τινος· Ἐπήλπισαν δὲ ἕτεροι ἑτέρους, εἰς ἐλπίδα ἤγαγον.

„ Ἡμέρα Ἠοῦς διαφέρει. Ἡμέρα μὲν γάρ ἐστι τὸ κατάστημα μόνον ἀσώματον, ἣν Ἡσίοδος νυκτὸς γενεαλογεῖ.

Νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρα ἐξεγένοντο.

Ἠὼς δὲ τὸ συναμφότερον. ὃν πάλιν Ἡσίοδος Θείας ὑποτίθεται,

Θεία δ' ἠέλιόν τε μέγαν, λαμπράν τε σελήνην
Ἠῶθ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Γείνατο.

Ἐπὶ δὲ τῆς σωματοειδοῦς,

Ἀλλ' ἤτοι τοῦτον χρυσόθρονος ἥρπασεν ἠώς.

„ Ἦς, καὶ Ἦθα, καὶ Ἦ, διαφέρει. τὸ μὲν γὰρ Ἦθα,

νει. Καλῶς δὲ, τὸ χρήσιμον συνηρημένως· τὸ ὂν Εὖ καὶ Καλῶς σημαίνει ὀρθῶς καὶ χρησίμως.

„ Ἐχθρὸς Πολεμίου, καὶ Δυσμενοῦς διαφέρει. Ἐχθρὸς μὲν γάρ ἐστιν ὁ πρότερον φίλος. Πολέμιος δὲ, ὁ μεθ' ὅπλων χωρῶν πέλας· Δυσμενὴς δ' ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διατηρῶν, καὶ δυσδιαλλάκτως ἔχων.

# Ζ

ΖΗλος καὶ Ζηλοτυπία διαφέρει. Ζηλοτυπία μὲν γάρ ἐστιν αὐτὸ τὸ πάθος, ἤγουν τὸ ἐν μίσει ὑπάρχον. Ζῆλος δὲ, μίμησις καλοῦ. οἷον, ζηλοῖ τὸν καθηγητὴν ὁ παῖς. Ζηλοῖ δέ τε γείτονα γείτων. Ἡσίοδος, ἐπὶ καλοῦ. Ζηλοτυπεῖ δὲ ἡ δεῖνα τὸν δε.

„ Ζηλῶσαι τοῦ Ἐρίσαι διαφέρει. Ζηλοῦν μὲν γάρ ἐστι τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. Ἐρίζειν δὲ τὸ μετὰ μάχης φιλονεικεῖν.

„ Ζῆλος Φθόνου διαφέρει. Ζῆλος μὲν γάρ ἐστιν ἡ δι' ἐπιθυμίαν μίμησις γινομένη, δοκοῦντος τινὸς καλοῦ. Φθόνος δὲ, βασκανία τὶς τῶν ἄλλοις μὲν προσόντων ἀγαθῶν, ἡμῖν δ' οὔ.

„ Ζῆλος μέν ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, οἷα καὶ ἑαυτῷ τις ἐπιθυμεῖ περιποιῆσαι.

„ Ζήλου τρία εἴδη, ὁ μὲν γάρ ἐστι μακαρισμός· καθὰ καὶ φησί τις, ζηλῶ τὸν τοῦ δεῖνα ἐπὶ τῷ δε. Δεύτερος, καθὸ ζηλωτής τινος λέγεται, οἷον Θησεὺς Ἡρακλέος.

καθὰ Μένανδρος ἐν δυσκόλῳ,

Τί φὴς ἰδὼν, ἐνθένγε πᾶς δ᾽ ἐλεύθερων,

Ἀπῆλθες εὐθὺς, ὡς ταχύ.

Τινὲς μέντοι τῶν Ἀρχαίων φασὶ, καὶ τὸ εὐθὺς ἀντὶ χρονικοῦ κεῖσθαι· φασὶ γοῦν κατὰ λέξιν. τινὲς δὲ τὸ μὲν εὐ λέγειν, ἐπίτινος εὐθέως. οἷον ἐὰν μὲν ἡ θηλυκὸν τοὔνομα, ἡ εὐθεῖα ὁδὸς, εὐθεῖα βακτηρία. ἐὰν δὲ ἄῤῥεν, εὐθὺς ὁ κανὼν· ἐὰν δ᾽ οὐδέτερον, εὐθὺ τὸ ξύλον. οἱ δὲ ἀρχαῖοι ἐνίοτε τὸ εὐθὺ ἐτίθεσαν, τὸ ἐφ᾽ ὁδοῦ τῆς τεινούσης ἐπίτινος τόπου· εὐθὺ τῆς στοᾶς, εὐθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους οὐ λέγεται, ἀλλ᾽ εὐθύς. οἷον,

Γήμαντος αὐτοῦ δ᾽, εὐθὺς ἔσομ᾽ ἐλεύθερος.

καὶ Ὥς τοῦτ᾽ εἶδεν, εὐθὺς ἦν ἄνω, κάτω.

„ Εὐφραίνεσθαι καὶ Ἥδεσθαι διαφέρει. Πλάτων ἐν Πρωταγόρᾳ. Εὐφραίνεσθαι μὲν γάρ ἐστι, μανθάνοντά τι, καὶ φρονήσεως μεταλαμβάνοντα αὐτῇ τῇ διανοίᾳ. Ἥδεσθαι δὲ, ἐσθίοντά τι, ἢ ἄλλο ἡδὺ πάσχοντα αὐτῷ τῷ σώματι.

„ Εὐθὺς καὶ Εὐθὺ διαφέρει. τὸ μὲν γὰρ εὐθὺς χρονικόν ἐστιν ἐπίῤῥημα· τὸ δὲ εὐθὺ, τὸ ἐξ ἐναντίας δηλοῖ.

„ Εὐεργεσία καὶ Χάρις διαφέρει. Εὐεργεσία μὲν γάρ ἐστιν, ἡ μεγάλη χάρις· Χάρις δὲ, ἡ ἐλάττων. οἷον χιτῶνα, ἢ κύνα χαρίζεται, εὐεργετεῖ δὲ οὔ.

„ Εὐθὺ καὶ Ὀρθὸν διαφέρει. τὸ μὲν εὐθὺ ἀντίκειται τῷ στρεβλῷ· τὸ δ᾽ ὀρθὸν τῷ πλαγίῳ.

„ Εὖ τοῦ Καλῶς διαφέρει. Εὖ μὲν, τὸ ὀρθῶς σημαίνει.

ἐν συνεργίᾳ πολλοῦ χρόνον γεγονότες.

„ Ἑτερόφθαλμος καὶ Μονόφθαλμος διαφέρουσιν. Ἑτερόφθαλμος μὲν γὰρ, ὁ κατὰ περίπτωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν. Μονόφθαλμος δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων, ὡς ὁ Κύκλωψ.

„ Ἕτερος καὶ Ἄλλος διαφέρει. Ἕτερος μὲν ἐπὶ δυοῖν τάσσεται. ὡς Ὅμηρος,

Φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα.

τὸ δὲ Ἄλλος ἐπὶ πολλῶν, ὡς αὐτὸς Ὅμηρος.

Διὶ δ᾽ ἡμεῖς οἴσομεν ἄλλον.

„ Εὐφυὴς καὶ Εὐμαθὴς διαφέρει. Εὐφυὴς μὲν γὰρ λέγεται παρὰ Ἀττικοῖς ὁ σκωπτικός. Εὐμαθὴς δὲ, ὁ εἰς τὸ μαθεῖν ταχύς.

„ Εὑρεῖν καὶ Εὑρέσθαι διαφέρει. Εὑρεῖν μὲν γὰρ, τὸ ἐν τῇ συνηθείᾳ. Εὑρέσθαι δὲ, οἱονεὶ τὸ ἐκπορίσασθαι. Μένανδρος δυσκόλῳ,

Εὑρηκὼς, κἀγὼ ταύτῃ τέχνῃ.

Δίφυλος ἐν πύῤῥᾳ,

Δῶρον δ᾽ ἐμαυτῇ παρὰ θεῶν εὑρημένον.

„ Εὔμορφος Εὐειδὴς διαφέρει. Εὔμορφος μὲν γὰρ, ὁ τὴν μορφὴν εὖ ἔχων, οἷον εὖ πρόσωπος. (καὶ γὰρ τὸ τὴν ὄψιν πῶς σχηματίζειν, μορφίζειν λέγομεν. Εὐειδὴς δὲ, ὁ τὸ εἶδος καλῶς ἔχων, οἷον πᾶν τὸ σῶμα.

„ Εὐθὺς, Εὐθὺ, καὶ Εὐθέως, διαφέρουσιν. Εὐθὺς μὲν γὰρ, ὁ κανών. Εὐθὺ δὲ, τὸ γυμνάσιον, αὐτὴν κατ᾽ εὐθεῖαν τοῦ γυμνασίου, ἢ εὐθὺ τὸ κανόνιον. τὸ δὲ Εὐθέως, ἀντὶ τοῦ χρονικοῦ ἐπιῤῥήματος. ὁ οὖν ἐναλλάσσων ἁμαρτάνει.

Α᾽λλά με σός τε πόθος, σά τε μήδεα, φαίδιμ᾽ Ο᾽δυσσεῦ,

Σή τ᾽ ἀγανοφροσύνη μελιηδέα θυμὸν ἀπηῦρα.

φυλάσσει γὰρ ἄκρως ὁ Ποιητὴς τὰς τοιαύτας ἐναλλαγάς.

„ Ε᾽ρωτᾶν μὲν ἐστι, τὸ θέλειν κεφαλαιώδη λαβεῖν ἀπόφασιν, ἢ ναὶ, ἢ οὔ. Πυνθάνεσθαι δὲ, τὸ κατὰ διέξοδον ἀξιοῦν πρᾶγμα. οἷον, πῶς ἐπολεμήσατε;

„ Ε᾽ρως μὲν ἐστιν ἐπιβολὴ φιλοποιΐας, πόθος δ᾽ ἀπόντος. Ι῞μερος δ᾽ ἔρως σπανίζων τῆς πρὸς τὸν ἐρώμενον χρείας.

„ Ε῎σται τοῦ Γενήσεται διαφέρει. Ε῎σται μὲν γὰρ, τὰ καὶ νῦν ὄντα. Γενήσεται δὲ, τὰ γενήσεως τευξόμενα. οἷον, νέος πρεσβύτης ἔσται. Τῷ δ᾽ ἀτέκνῳ παῖδες γενήσονται. Α῎λλως. Ε῎σται μὲν γὰρ τὸ ὑποκείμενον. οἷον, ὁ παῖς ἔσται ἀνήρ· γενήσεται δὲ τὸ ἄμισον.

„ Ε᾽στιάτωρ καὶ Δαιτυμὼν διαφέρει. Ε᾽στιάτωρ μὲν γὰρ, ὁ ὑποδοχεύς. Δαιτυμόνες δὲ οἱ ἑστιώμενοι.

„ Ε᾽σπέρα καὶ ὀψὲ διαφέρει. Ε᾽σπέρα μὲν γάρ ἐστι, δυομένου τοῦ ἡλίου. Ο᾽ψὲ δὲ, βραδέως, καὶ μεθοντιοῦν χρόνον. διὰ τοῦτο καὶ προσιθέασιν, ὀψὲ τῆς ἡμέρας.

„ Ε᾽ταῖρος καὶ φίλος διαφέρουσιν. ὁ μὲν γὰρ φίλος, καὶ ἑταῖρος· ὁ δ᾽ ἑταῖρος, οὐ πάντως φίλος. διὸ καὶ ἐπὶ τοῦ ἀνέμου φησὶν Ο῞μηρος,

πλησίσιον ἐσθλὸν ἑταῖρον.

καὶ ἄλλως. Φίλοι μὲν κοινῶς λέγονται πάντες, οἱ τὰ τῆς φιλίας δίκαια πρὸς ἑαυτοὺς ἔχοντες. Ε᾽ταῖροι δὲ ἰδίως, οἱ καὶ τῇ ἡλικίᾳ παραπλησίως ἔχοντες, καὶ ἐν συνηθείᾳ καὶ

Πυνθανόμην Ἰθάκης καὶ ἐν Κρήτῃ εὐρείῃ.

Κατὰ δὲ τοὺς φιλοσόφους, ἐρώτησις ἐστὶ φράσις συμβολικὴ, ἀπόκρισιν ζητοῦσα, οἷον, νέον, ἀμφίβολον, σαφὲς, ἄδηλον. αὗται γὰρ αἱ πέντε ἀποφάσεις, συμβολικαὶ καλοῦνται. ἐστι μέντοιγε ὅτε οὐχ οὕτως, ἀλλ' ἑτέρως ἀποκρινόμεθα πρὸς τὰς ἐρωτήσεις· οἷον, ἡμέρα ἐστί. καὶ οὕτως ἡμέρα ἐστὶν ἡμέρα· καὶ οὕτως, ἡμέρα ἐστί. Πεῦσις δέ ἐστι λέξις, πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνεσθαι, οἷον, ποῦ οἰκεῖ Ἀρίστων; φησὶ γὰρ, ἐν τῷδε τῷ τόπῳ· καὶ, πῆ ἔβη Ἀνδρομάχη; ἡ δ' ἀποκρίνεται·

Ἀλλ' ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ' ἄκουσε.
Τείρεσθαι Τρῶας.

„ Οὐ γὰρ ἐνεχώρει ἐνταῦθα συμβολικῶς εἰπεῖν ναὶ, ἢ οὔ. Κατά τι οὖν περὶ τῆς διαφορᾶς ταύτης φέρονται καὶ οἱ φιλόσοφοι συμφώνως τοῖς προειρημένοις. Ποτάμων περὶ τῆς διαφορᾶς φησὶν οὕτως.

„ Ἐρώτησις, Πεύσεως, καὶ ἀνακρίσεως διαφέρει. Ἐρώτησις μὲν γάρ ἐστι σύντομος ἀπόκρισις· Πεῦσις δὲ, μακρᾶς πράξεως ἀπαγγελία· Ἀνάκρισις δὲ, ὑπὸ δεσπότων ἐξήγησις.

„ Ἔρως καὶ Πόθος διαφέρουσιν. Ἔρως μὲν γὰρ, τῶν παρόντων, Πόθος δὲ τῶν ἀπόντων.

„ Ἐρᾶν καὶ Ποθεῖν διαφέρει. Ἐρᾶν μὲν γάρ ἐστι, τῶν ἐν ὄψει. Ποθεῖν δὲ, τοὺς ἀπόντας. Διαστέλλει δὲ καὶ Ὅμηρος,

Ὥς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
πρὸς τὴν Ἥραν φησὶν ὁ Ζεὺς παροῦσαν. Ἐπὶ δὲ τοῦ ἀπόντος,

Ἀλλά με

ζῶντα ἀνάγοιτο διὰ ἀγορὰν τὸ μῆλιον, δώσειν τάλαντον· εἰδ' ἀνέλοιτο ἥμισυ. Ἐπικηρυκεύσασθαι δὲ ἔλεγον, τὸ περὶ συμβιβάσεως καὶ σπονδῶν τὰς πόλεις κήρυκας πρὸς ἀλλήλας διαπέμψασθαι.

„ Ἔπιτιμος καὶ Ἐπιτίμιος διαφέρει. Ἔπιτιμος μὲν γὰρ, ἔντιμος. Ἐπιτίμιος δὲ, ὁ ἐπιζήμιος, καὶ ἐπίπληκτος, ἀφ' οὗ τὴν ἐπίπληξιν Ἐπιτίμιον φαμέν. καὶ ἐπιτίμησον αὐτὸν, ἀντὶ τοῦ ἐπίπληξον.

„ Ἐπιχαίρειν καὶ Συγχαίρειν διαφέρει. Ἐπιχαίρειν μὲν γάρ ἐστι, τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς. Συγχαίρειν δὲ, τὸ συνήδεσθαί τινος ἀγαθοῖς.

„ Ἐπιδοτικὸς μέν ἐστιν, ὁ δεομένοις ἐπιδιδούς· Μεταδοτικὸς δὲ, ὁ φίλοις.

„ Ἐρωτᾶν τοῦ Πυνθάνεσθαι διαφέρει. Πυνθάνεσθαι μὲν γάρ ἐστι, τὸ κατ' ἀκοὴν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγόμενα, αὐτὸν οὐδ' ἐρωτῶντα· Ἐρωτᾶν δὲ, τὸ ἐθέλειν τινὰ κεφαλαιώδη λαβεῖν ἀπόφασιν περὶ τοῦ ὑποκειμένου πράγματος ὁ γοῦν. Τηλέμαχός φησι πρὸς Νέστορα,

Εἴρεαι ὁππόθεν εἰμὲν, ἐγὼ δέ κέ τοι καταλέξω. καὶ

Ἀχιλλεύς φησιν.

Ἀλλ' ἴθι νῦν Πάτροκλε Διὶ φίλε, Νέστορ' ἔροιο,
Ὅντινα τοῦτον ἄγει,

Ὅτι δὲ τὸ πυνθάνεσθαι ἐπὶ ψιλοῦ τοῦ ἀκούειν τάσσεται, φανερὸν ἐκ τοῦ λέγειν Τηλέμαχον.

Νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, καὶ ἄλλων μῦθον ἀκούων,
Πυνθάνομαι, καὶ δή μοι ἀέξεται ἔνδοθι θυμός.

καὶ Ὀδυσσεύς φησι.

Πυν-

κηδείας, ᾀδόμενον ὑπὸ τῶν θεραπαινίδων, ἢ τῶν συν αὐταῖς. τὸ δ' Ἐπικήδιον, ἔπαινόν τινα τοῦ τελευτήσαντος μετά τινος μετρίου σχετλιασμοῦ.

„ Ἐπιςραφὴς Εὐςραφοῦς διαφέρει. Ἐπιςραφὴς, ὁ προσακτικὸς καὶ ἐπιμελής. Εὐςραφὴς δ' ὁ ἐπιδέξιος ἐν ταῖς μεταβολαῖς.

„ Ἐπίκουροι καὶ Σύμμαχοι διαφέρουσιν. Ἐπίκουροι μὲν γάρ εἰσιν, οἱ τοῖς πολεμουμένοις βοηθοῦντες καὶ συλλαμβανόμενοι. Σύμμαχοι δὲ οἱ τῶν πολεμούντων. Ὅμηρος δι' ὅλης ἐφύλαξε τῆς Ποιήσεως τὴν διαφοράν. οὐκ ἔςιν οὖν παρ' αὐτῷ ἐπίκουρος Ἑλλήνων λεγόμενος, ἀλλὰ Τρώων.

„ Ἐπιςεῖλαι ἢ Ἐπισκῆψαι διαφέρουσιν. Ἐπιςεῖλαι μὲν, διὰ γραμμάτων· ἐπισκῆψαι δὲ, διὰ λόγων.

„ Ἐπαγγέλλει ἢ Ἐπαγγέλλεται διαφέρει. Ἐπαγγέλλει μὲν, τὸ προσάσσει· Ἐπαγγέλλεται δὲ, τὸ ὑπισχνεῖται. Ὑπισχνεῖται δὲ ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας. Ἐπαγγέλλεται δὲ, ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογήσας.

„ Ἐπιτίμιον καὶ Ἐπίτιμον διαφέρει. Ἐπιτίμιον μὲν γὰρ, ἡ ζημία. Ἐπίτιμον δὲ, τὸ τῆς τιμῆς μετέχον. ὥστε οὐ δεῖ λέγειν· ἐξέτισε τὸ ἐπίτιμον· ἀλλ' ἐξέτισε τὸ ἐπιτίμιον.

„ Ἐπικηρύξαι ἢ ἐπικηρυκεύσασθαι διαφέρει. Ἐπικηρύξαι μὲν γὰρ ἔλεγον τὸ ὑποσχέσθαι χρήματα δώσειν τῷ συλλαβόντι. καὶ ἀνάγοντες, ἢ ἀποκτείναντές τινα τῶν καταδικασθέντων, οἱ Ἀθηναῖοι ἐπεκήρυξαν, εἰ μέν τις

„ Ἕνεκα καὶ Χάριν διαφέρει. ὁ μὲν γὰρ Ἕνεκα, ψιλὴν τὴν αἰτίαν δηλοῖ, οἷον, ἕνεκα Ἀλεξάνδρου, καὶ ἕνεκα Ἑλένης ἐστράτευσε μενέλαος· ὁ δὲ Χάριν μετὰ τῆς αἰτίας δηλοῖ καὶ τὴν χάριν. Χάριν Μενελάου Ἀχιλλεὺς ἐστράτευσε· τουτέστι, Μενελάῳ χαριζόμενος.

„ Ἐννοεῖν καὶ ἐννοεῖσθαι διαφέρει. Ἐννοεῖν μὲν γὰρ ἄφνω μὴ ἐπιστῆς. Ἐννοεῖσθαι δὲ, ἀπὸ μακρᾶν διαλογιζόμενος.

„ Ἐξόσου καὶ Ἐξότου διαφέρει. Ἐξόσου μὲν γὰρ, χρόνου. Ἐξότου δὲ, τὸ ἐξ οὗτινος.

Ἐξανέψιοι καὶ Ἐξανεψιοὶ διαφέρει. καὶ βαρυτόνως προφέρονται τοὔνομα. φησὶ γὰρ Τρύφων ἐν δευτέρῳ περὶ ἀττικῆς προσῳδίας. Ἐξανέψιοι ὡς ἀμείρμενοι, ἀνασελλομένης τῆς ὀξείας ἐκ τοῦ Ἀνεψιοὶ ὀνόματος ὀξυνομένου. Εἰσὶ δὲ οἱ μὲν ἀνέψιοι, τῶν ἀδελφῶν παῖδες, καθὰ καὶ ἡμεῖς ἐκδεχόμεθα. Ἐξανέψιοι δὲ, οἱ τῶν ἀνεψιῶν παῖδες.

„ Ἐοικότα Εἰκότων διαφέρει τὰ μὲν γὰρ πίστεως ἐχόμενα, τὰ δ' ἐμφερῆ ἐοικότα.

„ Ἐπικήδιον καὶ Θρῆνος διαφέρουσιν. Ἐπικήδιον μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ κήδει. Θρῆνος δὲ, τὸ ἐν ᾠδῇ. οὕτω Τρύφων. Ἀριστοκλῆς δὲ ὁ ῥόδιος ἐν τῷ περὶ Ποιητικῆς τοὔμπαλιν. Φησὶ γάρ· Θρῆνος δ' ἐστὶν ᾠδὴ τῆς συμφορᾶς, οἰκεῖον ὄνομα ἔχουσα. ὀδυρμὸν ἔχει σὺν ἐγκωμίῳ τοῦ τελευτήσαντος. Τινὲς μὲν οὖν κοινῶς πάντα εἶπον θρήνους· οἱ δὲ διαφέρειν θρῆνόν τε καὶ ἐπικήδιον, τῷ τὸν θρῆνον ᾄδεσθαι παραυτῇ τῇ συμφορᾷ πρὸ τῆς ταφῆς, καὶ μετὰ τὴν ταφὴν, καὶ κατὰ τὸν ἐνιαύσιον χρόνον τῆς

κη-

τότε. Ἐπὶ μὲν οὖν τοῦ ἐνταυθοῖ,

Ἐνταυθοῖ νῦν ἧσο κύνας ἀπερύκων.

ἐπὶ δὲ τοῦ ἐνταῦθα, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

Ἐνταῦθα πέμψειεν, ἔνθα μή ποθ' ἡλίου
Φέγγος καθορῇ.

ἔχει γὰρ καὶ τὴν εἰς τόπον σημασίαν, καὶ τὴν ἐν τόπῳ. Ὁμοίως καὶ ἐπὶ τοῦ Ἐνθάδε φησὶν ἡ Καλυψώ,

Ἐνθάδε αὖθι μένων σὺν ἐμοὶ, τόδε δῶμα φυλάσσοις. καὶ Ἕκτωρ φησί,

Σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.

ταῦτα γὰρ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ. τὰ δ' εἰς τόπον οὕτως·

Τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,

Τοῦ δ' αὐτοῦ Λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς. Ἐπὶ τοῦ ἔνθα ἐν τόπῳ,

Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς. εἰς τόπον·

Ἔνθα κατεπλέομεν, καί τις θεὸς ἡγεμόνευεν.

ἀντὶ χρονικοῦ ἐπιρρήματος τοῦ τότε,

Ἔνθ' αὖ Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη.

„ Ἐνθύμημα καὶ Ἐνθύμιον διαφέρει. Ἐνθύμημα μὲν γάρ ἐστι ποιοῦ λόγου σχῆμα. τὸ δ' ἐνθύμιον ἐτίθετο ἐπὶ τοῦ προστροπαίου παρ' Ἀττικοῖς. ὁ γοῦν Ἀντιφῶν ἐν τοῖς φονικοῖς φησί· Τεθνεὼς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

„ Ἔνδοξος καὶ Ἐπίδοξος διαφέρει. Ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπίσημος. Ἐπίδοξος δὲ, ὁ προσδοκώμενος καὶ ἐλπιζόμενος.

„ Ἔνε-

ἐμεῖο δὲ συώϑεο μῦϑον.
τὸ δὲ ἐμοῖο σιώαρϑρον, τῆ ἐμοῖο παιδός.

Ϛ, Μνῆσαι πατρὸς σοῖο ϑεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.
ἀντὶ τῆ πατρός σȣ.

„ Ἐμπειρία Πείρας διαφέρει. Πεῖρα μὲν γὰρ ἐφ' ἑνὸς ἢ δύο γνῶσις ἐςὶ δοκιμαζομένη. Ἐμπειρία δὲ, ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία. πάλιν δὲ τέχνη Ἐμπειρίας διαφέρει· ὅτι ἡ μὲν ἐν τοῖς κανόσιν. ἡ γραμματικὴ δὲ τέχνη ἀδιάπτωτος, ὡς καὶ ἡ ἐπιςήμη.

„ Ἔνδον καὶ ἔσω Διαφέρει. Ἔνδον μὲν γὰρ, τὸ ἐν τόπῳ σημαίνει. Ἔσω δὲ τὸ εἰς τόπον. Ἔνδον μὲν γάρ ἐςιν ὁ παῖς, ἔσω δὲ εἰσέρχομαι. ἁμαρτάνει ὖν ὁ λέγων, ἔνδον εἰσέρχομαι, ἢ ἔσω ἐςὶν ὁ παῖς. Σοφοκλῆς τιὼ διαφορὰν συγχεῖ φησὶ γὰρ ἐν Τραχινίαις·

Γιωαῖκες αἵτε ἔσω ςέγης, αἵτε ἐκτός.

δέον εἰπεῖν, Γιωαῖκες αἵτε ἔνδον. καὶ Εὐελπίδης ἐν Ἡρακλείδῃ·

Καὶ τὸν γέροντα, τιὼ τ' ἔσω γραῖαν δόμων,

ἀντὶ τȣ ἔνδον. Εὔβȣλος ὁ τῆς μέσης κωμῳδίας Ποιητὴς ἐν καλαϑηφόροις.

Ὅπως δὲ ἀπεύσεϑ' ὅτι τὶς γέρων ἔσω.

δέον εἰπεῖν, ἔνδον.

„ Ἐνταυϑοῖ, καὶ Ἐνταῦϑα, καὶ Ἐνϑάδε διαφέρει. Ἐνταυϑοῖ μὲν γὰρ, τιὼ ἐν τόπῳ σημασίαν δηλοῖ. Ἐνταῦϑα δὲ, καὶ τιὼ ἐν τόπῳ, καὶ τιὼ εἰς τόπον. ὁμοίως καὶ τὸ Ἐνϑάδε. τὸ δ' ἐνταῦϑα, καὶ ἐνϑάδε, καὶ τιὼ ἐν τόπῳ, καὶ τιὼ εἰς τόπον, καὶ ἀντὶ χρονικȣ ἐπιῤῥήματος τοῦ

τότε

Ἐκπολεμῆσαι δὲ, τὸ πόλιν ἐξελεῖν.

„ Ἔκγονος καὶ Ἀπόγονος διαφέρει. Ἔκγονος μὲν γάρ ἐστιν ὁ υἱός. φησὶ γὰρ Ὅμηρος,

εἰ ἐτεόνγε.

Κείνου ἔκγονος ἐσσὶ, σέβας μ᾽ ἔχει εἰσορόωντα.

καὶ δι᾽ ὅλης τῆς ποιήσεως τετήρηκεν. Ἀπόγονος δ᾽ ὁ ἤτοι υἱωνεὺς, ἢ ἔτι ἄποθεν. καταχρῶνται δ᾽ ἔσθ᾽ ὅτε οἱ Ἴωνες καὶ τῷ ἀπογόνῳ ἀντὶ υἱοῦ.

„ Ἐκμαρτυρία Μαρτυρίας ἔν τινι διαφέρει. δηλοῖ μέναρχος ἐν τῷ κατὰ κλεομέδοντος, λέγων. ἀναγνώσεται δὲ τῶν μὲν ἐπιδημούντων τὰς μαρτυρίας, τῶν δὲ ἀποδημούντων ἐκμαρτυρίας.

„ Ἕλκος Ὠτειλῆς διαφέρει. Ἕλκος μὲν γάρ ἐστι χρόνιον πάθος, μόνον ἐκ σιδήρου γινόμενον. ἔστι δ᾽ ὅτε καὶ ἐξ αὐτομάτου. εἴρηται δέ παρὰ τὸ διελκύσθαι τὴν σάρκα. Ὠτειλὴ δ᾽ ἐστιν ἡ ἐκ τοῦ συνέγγυς ὑπὸ σιδήρου πληγή.

„ Ἐλέατρος καὶ Ἐδέατρος διαφέρει. Ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος, παρὰ τοὺς Ἐλεούς. τράπεζαι δ᾽ εἰσί μαγειρικαί. Ὅμηρος.

καὶ ἐιν Ἐλεοῖσιν ἔχευαν.

Ἐδέατρος δὲ, ὁ προστάτης παρὰ τὰ ἐδέσματα.

„ Ἐμβάδες καὶ Ἔμβατα διαφέρει. Ἐμβάδες μὲν γὰρ, τὰ κωμικὰ ὑποδήματα. Ἔμβατα δὲ, τὰ τραγικά.

„ Ἐμεῖο καὶ Ἐμοῖο διαφέρει. Ἐμεῖο μὲν γάρ ἐστιν ἀσύναρθρον, ὡς Ὅμηρος;

ἐμεῖο

„ Δῶμα καὶ Δωμάτιον διαφέρει. Δῶμα μὲν γὰρ κοινῶς τὸ οἰκοδόμημα. τὸ Δωμάτιον δὲ, θάλαμος.

„ Δωροδοκία, ἤτε δόσις τῶν δώρων, καὶ ἡ λῆψις.

## Ε

ΕʼΓχείσαι καὶ Ἐναλεῖψαι διαφέρει. Ἐγχίσαι μὲν γὰρ, ἐπὶ σκορπίου ἢ σφηκῶν, ἥτινος τοιούτου λέγουσιν. Ἐναλεῖψαι δὲ, ἐπὶ ὀφθαλμῶν.

„ Ἐγγυᾷ καὶ Ἐγγυᾶται διαφέρει. Ἐγγυᾷ μὲν γὰρ ὁ διδούς. Ἐγγυᾶται δ' ὁ λαμβάνων.

„ Ἐδίδαξε καὶ Ἐδιδάξατο διαφέρει. Ἐδίδαξε μὲν γὰρ ὁ καθηγητής. Ἐδιδάξατο δ' ὁ πατὴρ συστήσας. Ἀριστοφάνης ἐν Νεφέλαις,

Ἐδιδαξάμην μὲν τοι νὴ δί' ὦ μέλαινε.

„ Εἰκὼν καὶ Προτομὴ διαφέρει. Εἰκὼν μὲν γάρ ἐστιν ἐπ' ἀνθρώπου. Προτομὴ δὲ, λέοντος, καὶ ἵππου, καὶ τῶν ἄλλων.

„ Ἐκκλησία καὶ Κατάκλησις διαφέρει. Ἐκκλησίαν μὲν γὰρ ἔλεγον οἱ ἀθηναῖοι τὴν σύνοδον τῶν κατὰ τὴν πόλιν. Κατάκλησιν δὲ, ὁπότε καὶ τοὺς ἐκ τῶν ἀγρῶν συνεκάλουν, πρὸς ἐπίσκεψιν μείζονα τῶν πραγμάτων.

„ Ἐκεῖ καὶ Ἐκεῖσε διαφέρει. τὸ μὲν γὰρ Ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ. τὸ δὲ ἐκεῖσε, εἰς τόπον. οὕτως ἐροῦμεν, ἐκεῖ κατέλαβον αὐτὸν, καὶ ἐκεῖσε πορεύσομαι.

„ Ἐκπολεμῶσαι καὶ Ἐκπολεμῆσαι διαφέρουσιν. Ἐκπολεμῶσαι μὲν γάρ ἐστι τὸ εἰς πόλεμον ἐμβαλεῖν.

Ἐκπο-

γων. Ἐπανορθοῦν δὲ ἐπὶ μόνων λόγων.

„ Διαπολιτεύεσθαι καὶ Ἀντιπολιτεύεσθαι διαφέρει. Διαπολιτεύεσθαι μὲν γὰρ λέγουσι τοὺς ἐκ τῆς πόλεως. Ἀντιπολιτεύεσθαι δὲ, τοὺς ἐξ ἑτέρας ἀντιδιασταῦντας ἀλλήλοις. Θεόπομπος δὲ, καὶ τοὺς ἐν μιᾷ πόλει φιλοτιμουμένους πρὸς ἀλλήλους, ἀντιπολιτεύεσθαι ἔφη.

„ Διδάσκαλος καὶ Ἐπιστάτης διαφέρει. Διδάσκαλος μὲν γάρ ἐστι λόγων, Ἐπιστάτης δ᾽ ἔργων.

„ Διαλέγεται μὲν, ὁ διδοὺς λόγον καὶ λαμβάνων. Λαλεῖ δὲ, ὁ μὴ σπουδαῖον λεγόμενος. Λέγει δὲ καὶ ὁ κατὰ διέξοδον ἐπεξιὼν πρᾶγμα. Φάσκει δὲ ὁ βραχυλόγος.

„ Δίκη, ἤτοι κρίσις, καὶ ἡ τιμωρία, καὶ τὸ δίκαιον.

„ Δοάσατο τοῦ Δοιάσατο διαφέρει· τὸ μὲν γὰρ δοάσσατο, σημαίνει τὸ ἔδοξε. τὸ δὲ δοιάσατο, ἀντὶ τοῦ ἐδίστασε.

„ Δοῦλοι καὶ Οἰκέται διαφέρουσι. Δοῦλοι μὲν γάρ εἰσι καὶ οἱ τῶν ἡδονῶν, καὶ πάντες οἱ ὑποτεταγμένοι ὑπὸ βασιλέα. Οἰκέται δὲ δεσποτῶν.

„ Δόξα καὶ Κλέος διαφέρει. Δόξα μέν ἐστιν ὁ παρὰ τῶν πολλῶν ἔπαινος. Κλέος δὲ, ὁ παρὰ τῶν σπουδαίων.

„ Δύναμις καὶ ἰσχὺς Διαφέρει, ὥς φησι Πλάτων ἐν Πρωταγόρᾳ. οὐ γὰρ ταυτόν ἐστι δύναμίν τε καὶ ἰσχύν. ἡ μὲν γὰρ δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται, καὶ μανίας, καὶ θυμοῦ ἡ δὲ ἰσχὺς ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων.

„ Δυσπειθὴς καὶ Ἀπειθὴς Διαφέρει. Δυσπειθὴς γάρ ἐστιν, ὃς δυσχερῶς παραδέχεται τὸν πιστὸν λόγον. Ἀπειθὴς δὲ, ὃς ἀποκρούεται, καὶ οὐχ οἷός τέ ἐστι πείθεσθαι.

Καὶ μ' ἐπιβόντον κατὰ γείτονας ποιήσεις.
τοῦτον δ' οὗτοι τὸν Ποιητὴν ἐπίσφατον καλοῦσιν.

„ Διαβόντος Περιβόντε διαφέρει. Διαβόντος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ πολυθρύλλητος. Περιβόντος δὲ ὁ ἐπὶ κακίᾳ. καὶ περιβόντον πᾶσιν ἀνθρώποις αὐτὴν παραδίδωσιν ὁ ἀκρατής. καὶ τοῦτο δὴ τὸ λεγόμενον.

Ἥττων ἑαυτοῦ πορνιδίῳ τρισαθλίῳ.

Ἑαυτὸν οὕτω παραδέδωκεν.

„ Διπλοῦν καὶ Διπλάσιον διαφέρει. Διπλοῦν μὲν γάρ ἐστι κατὰ μέγεθος. Διπλάσιον δὲ, κατὰ ἀριθμόν· ὡς διπλάσιον καὶ τετραπλάσιον. οἷον διπλάσια χρήματα ἔχει. ἐπὶ δὲ τῶν διπλουμένων τὸ διπλοῦν. ὥσπερ ἐπὶ τῶν πτυσσομένων ἱματίων, διπλοῦν τὸ ἱμάτιον, οὐκέτι διπλάσιον.

„ Διχότομος καὶ Διχοτόμος διαφέρει. Διχότομος μὲν, ὁ εἰς δύο διῃρημένος. Διχοτόμος δὲ, ὁ εἰς δύο διαιρῶν.

„ Διήγησις καὶ Διήγημα διαφέρει. Διήγησις μὲν γὰρ καὶ ποίησίς ἐστιν ἡ ἐν μήκει τὸ τέλειον ἔχουσα. Διήγημα δὲ καὶ ποίημα τὸ βραχύτερον.

„ Διδάξω καὶ Διδάξομαι διαφέρει. Διδάξω μὲν γὰρ δι' ἑαυτοῦ. Διδάξομαι δὲ, δι' ἑτέρου. ὡς οἰκοδομήσειν μὲν δι' ἑαυτοῦ· οἰκοδομήσασθαι δὲ δι' ἑτέρου.

„ Διφθέρα καὶ μηλωτὴ διαφέρει. Διφθέρα μὲν γὰρ αἰγῶν, Μηλωτὴ δὲ προβάτων.

„ Διορθοῦν καὶ Ἐπανορθοῦν διαφέρει. Διορθοῦν μὲν γὰρ καὶ ἐπὶ δοράτων, καὶ ἐπὶ ὀβελίσκων, καὶ ἐπὶ λόγων.

,, Δίσκος καὶ Σόλος διαφέρει. Δίσκος μὲν γάρ ἐστι λίθος τετρημένος, ὥς φησι Τρύφων ἐν πέμπτῳ περὶ ἑλληνισμοῦ. Σόλος δὲ, τὸ χαλκοῦν ὁλοσφύριον. Ὅμηρος.

Σόλον αὐτοχόωνον.

καὶ ἐν ἄλλοις·

λάβε δίσκον.

εἶτ' ἐπιφέρει,

Βόμβησε δὲ λίθος.

καὶ Πίνδαρος,

Λιθίνοις ποτ' ἀνὰ δίσκοισι.

,, Δικαστὴς καὶ Διαιτητὴς διαφέρει. Δικαστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱρεθεὶς κριτής. Διαιτητὴς δὲ, ὁ κατὰ συμφωνίαν αἱρεθεὶς, συμβιβάσεως χάριν. Μένανδρος ἐν πέμπτῳ·

Εἴτις δικαστὴς, ἢ διαιτητὴς θεῶν.

,, Διέφθαρται καὶ Διέφθορε διαφέρουσι. Διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου, διέφθορε δ' ἕτερον. Ἀριστοφάνης Κόραις,

Διέφθορας τὸν ὅρκον ἡμῶν.

Μένανδρος ἀδελφοῖς.

Εἰ δ' ἔστι τὴν κόρην διεφθορώς.

Ὅμηρος.

Φρένας ἠλεὲ διέφθορας.

Διεφθάρης τὰς σαυτοῦ φρένας.

,, Διαβόητος καὶ Ἐπιβόητος διαφέρει. Διαβόητος μὲν γάρ ἐστιν, ὁ ἐπ' ἀρετῇ ἐγνωσμένος. Ἐπιβόητος δὲ, ὁ μοχθηρὰν ἔχων φήμην. Ἀνακρέων ἐν δευτέρῳ.

Δ

Δαμάλης καὶ Δάμαλις διαφέρει. Δαμάλης μὲν γὰρ, ὁ ἄῤῥην μόσχος. Δάμαλις δὲ, ἡ θήλεια. Μόσχος δὲ, κοινῶς ἐπ' ἀμφότερα.

„ Δαὶ σύνδεσμος ἐρωτηματικῶς ἐκτεταμένως.

Τίς δαὶ ὅμιλος;

καὶ,

Πῶς δαὶ τῶν ἄλλων Τρώων.

ὁ δὲ συμπλεκτικὸς Δὲ, συνεσταλμένως.

„ Δεσπότης καὶ Κύριος διαφέρει. Δεσπότης μὲν γὰρ, ὁ τῶν ἀργυρωνήτων, καὶ κύριος. Κύριος δὲ, καὶ πατὴρ υἱοῦ, καὶ αὐτός τις ἑαυτοῦ.

„ Δέος καὶ Φόβος διαφέρει. Δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια. Φόβος δὲ, ἡ παραυτίκα πτόησις. Διόπερ Ἡρόδοτος ἐν τῇ τετάρτῃ, Ἡμέρας ἔχει φόβος τε καὶ δέος.

„ Δήμιος καὶ Δημόκοινος διαφέρει. Δήμιος μὲν γάρ ἐστιν ὁ ἀναιρῶν τοὺς καταδίκους. Δημόκοινος δὲ, ὁ βασανίζων.

„ Δήμητερ καὶ δάματερ διαφέρει παρὰ τοῖς ἀττικοῖς φησὶ Τρύφων. Δήμητερ γὰρ, φησὶν, ἐστὶν ἐπὶ τοῦ θεοῦ. Δάματερ δὲ, ἐπὶ θαυμασμοῦ.

„ Δῆμος καὶ Δημὸς διαφέρει. Δῆμος μὲν βαρυτόνως, τὸ πλῆθος τῆς πόλεως. Δημὸς δὲ ὀξυτόνως, τὸ λίπος.

„ Δίς-

Καὶ θαλάμοις ἐν ᾧ κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο. καὶ Αἰσχύλος ἐν Αμυμώνῃ,

Σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δὲ μή.

„ Γῆρας μέν ἐστιν ἡ τελευταία ἡλικία. Γήρασις δὲ ἡ ἐπ' αὐτὴν πρόοδος. μή ποτε οὖν ταύτῃ, καὶ γηρᾶν τοῦ γηράσκειν διαφέρει.

„ Γράμμα Στοιχείου διαφέρει. Στοιχεῖον μὲν γάρ ἐστιν αὐτὴ ἡ ἐκφώνησις, καὶ ὁ φθόγγος, οὗ τὸ γράμμα σημεῖον ἢ τύπος, σχῆμα, ὡς ἐν τῷ, τρίγωνον μὲν γάρ ἐστι τὸ Δ, στρογγύλον δὲ τὸ Ο, τύπος. τὸ δὲ στοιχεῖον τὸ ὁλόκληρον, οἷον, Α, Β, καὶ τὰ λοιπὰ στοιχεῖα καταχρηστικῶς γράμματα. καὶ τὰ γράμματα ἐκάλουν οἱ παλαιοὶ γράμματα. Καλλίμαχός που φησί,

Γράμματα δ' οὐκ εἴληφας ἀπόκρυφα.

τοῦτ' ἔστι τὰ γράμματα. καὶ πάλιν,

Πλάτωνος ἐν τῷ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

καὶ ἐν τῇ συνηθείᾳ πολλὰ φαμὲν εἰδέναι γράμματα τὸν δεῖ. οὐ γὰρ τὰ εἴκοσι τέσσαρα, ἀλλὰ τὸ τῶν πολλῶν ἔμπειρον γραμμάτων.

„ Γυμνασθῆναι καὶ Γυμνάσθαι διαφέρει. Γυμνασθῆναι μὲν γάρ ἐστι τὸ ὑφ' ἑτέρου. Γυμνάσθαι δὲ, τὸ ὑφ' ἑαυτοῦ.

„ Γυμνασία μὲν λέγεται ἡ τῶν γεγυμνασμένων ἄσκησις. Ἄσκησις δὲ, ἡ τῶν λεγόντων καὶ σχολικῶν.

λέγων ὅτως. ἐκ τῷ Ἀρίστωνος περὶ ἀνθρώπου γενέσεως καὶ αὐξήσεως ἄχρι γήρως. Βρέφος μὲν γάρ ἐστι τὸ γεννηθὲν εὐθέως. Παιδίον δὲ, τὸ τρεφόμενον ὑπὸ τιθλῶς. Παιδάριον δὲ, τὸ ἤδη περιπατοῦν, καὶ τῆς λέξεως ἀντεχόμενον. Παιδίσκος δὲ, ὁ ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. Παῖς δ' ὁ διὰ τῶν ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι. τὴν δ' ἐχομένην ταύτης ἡλικίαν, οἱ μὲν πάλληκα, οἱ δὲ βούπαιδα, οἱ δ' ἀντίπαιδα, οἱ δὲ μελλέφηβον καλοῦσιν. ὁ δὲ μετὰ ταῦτα, ἔφηβος. Ἐν δὲ Κυρήνῃ τοὺς ἐφήβους τριακατίους καλοῦσιν. ἐν Κρήτῃ ἀποδρόμους, διὰ τὸ μηδέπω τῶν κοινῶν δρόμων μετέχειν. ὁ δὲ μετὰ ταῦτα, μειράκιον, εἶτα μεῖραξ, εἶτα νεανίσκος, εἶτα νεανίας, εἶτα ἀνὴρ μέσος, εἶτα πρεσβευτικός. (ὃν καὶ ὠμογέροντα καλοῦσιν) εἶτα γέρων, εἶτα πρέσβυτης, εἶτα ἐσχατόγηρως.

„ Γελοῖον καὶ Εὐτράπελον διαφέρει. Γελοῖον μὲν γάρ ἐστι τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως. Εὐτράπελον δὲ, τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον. εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον.

„ Γέλοιος καὶ Γελοῖος διαφέρει. Γέλοιος μὲν, ὁ καταγέλαστος. Γελοῖος δὲ ὁ γελωτοποιός.

„ Γῆμαι τοῦ γήμασθαι διαφέρει. ὅτι γαμεῖ μὲν ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. καὶ Ὅμηρος τὴν διαφορὰν τετήρηκεν αὐτῶν, ἐπὶ τοῦ γήμασθαι εἰπών.

Γημαμένη ᾧ υἱῷ, ὁ δ' ὃν πατέρ' ἐξεναρίξας,
Γῆμε.

Καὶ Ἀνακρέων διασύρων τινὰ ἐπὶ θηλύτητι,

Καὶ

Χρύσειοι δ᾽ ἄρα κοῦροι εὐδμήτων ἐπὶ βωμῶν.
ἀντὶ τοῦ ἐπὶ βάσεων. καὶ ἡ ἑστία σημαίνει τὸν οἶκον.

Ἐστὶν τ᾽ Ὀδυσῆος ἀμύμονος.

καὶ Ἀνέστιος, ὁ ἄοικος παρ᾽ Ἡσιόδῳ. καὶ ἡ σωματοειδὴς Θεὸς ἑστία ἐστίν.

Ἦν καὶ Δήμητραν, καὶ Ἥρην χρυσοπέδιλον.

Ἰδίως δὲ Νεάνθης ὁ κυζικηνὸς ἐν τετάρτῳ τῶν κατὰ πόλιν, βωμοὺς θεῶν φησὶν, ἐσχάρας δ᾽ ἡρώων. Παρὰ δὲ εὐριπίδῃ ἐσχάρα ἀντὶ τοῦ βωμοῦ κεῖται ἐν Πλεισθένει.

Μῆλος φάγεται δαιμόνων ἐπ᾽ ἐσχάραις.

καὶ Σοφοκλῆς ἐν Χρύσῃ.

## Γ.

Γαμήλιος καὶ Ἐπιθαλάμιος διαφέρει. Ἐπιθαλάμιος μὲν γάρ ἐστι, τὸ ἐπὶ τῷ θαλάμῳ τῆς γαμουμένης γραφὲν ποίημα. ὁ δὲ Γαμήλιος οὐ περιώρισται χρόνῳ. τάττοιτο δ᾽ ἂν καὶ κατὰ τῆς δωρεᾶς ἐν γάμῳ διδομένης.

„ Γεγενῆσθαι ἐροῦμεν τὸ ὡσανεὶ γεγεννημένον. Γεγονέναι δὲ, τὸ ἄψυχον πρᾶγμα.

„ Γενέθλια καὶ Γενέσια διαφέρει· ὅτι μὲν γὰρ Γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων· καὶ ἐν ᾗ ἕκαστος ἡμέρᾳ ἐγεννήθη, αὕτη καλεῖται, γενέθλιος ἡμέρα. Γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων, ἐν ᾗ ἕκαστος ἡμέρᾳ τετελεύτηκε. ὁ οὖν λέγων ἐπὶ τῶν ζώντων γενέσια, ἀκυρολογεῖ.

„ Γέρων, καὶ Πρεσβύτης, καὶ Προβεβηκὼς διαφέρει. Ἀλεξίων δηλοῖ ἐν τῇ ἐπιτομῇ τῶν διδύμου συμμίκτων,

διςακτικῶς, οἷον βȣλὴ πορευσώμεθα.

„ Βοηθεῖ μὲν ὁ συνὼν, ἐπικȣρεῖ δὲ ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων. Συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμεύων. Ἀμύνει δὲ ὁ τιμωρȣ́μενος ὑπὲρ τȣ͂ ἀπολωλότος.

„ Βȣκολεῖν καὶ Ἐξαπατᾶν διαφέρει. Βȣκολεῖν μὲν ἐςι τὸ ἐπὶ πλεῖςον ἀεὶ παραλογίζεσθαι. Ἐξαπατᾶν δὲ, τὸ περὶ οἷȣ πράγματα συναρπάζειν.

„ Βȣλεύσασθαι καὶ Βȣλεῦσαι διαφέρει. Βȣλεύσασθαι μὲν γὰρ ἐςι ταυτὸν τῷ σκέψασθαι. Βȣλεῦσαι δὲ, τὸ ἐνθυμηθῆναί τι, καὶ συντάξαι κακόν. οἷον βουλεῦσαι φόνον, ἢ ἱεροσυλίαν.

„ Βȣ́λεσθαι μὲν, ἐπὶ μόνȣ λεκτέον τȣ͂ λογικȣ͂. τὸ δὲ θέλειν, καὶ ἐπὶ ἀλόγȣ ζώȣ.

„ Βλύειν καὶ Βρύειν διαφέρει. Βρύειν μὲν γὰρ, ἐπὶ τȣ͂ αὐθεῖν, βλύειν δὲ ἐπὶ τȣ͂ ἀναβάλλειν.

„ Βρύκειν καὶ Βρύχειν διαφέρει. Βρύκειν μὲν γὰρ διὰ τȣ͂ κ, τοῖς ὀδȣ͂σι. Βρύχειν δὲ διὰ τȣ͂ χ, ἐπὶ λέοντος τὸ βρύχεσθαι.

„ Βωμὸς, Ἑςία, Ἐσχάρα, καὶ Μέγαρον διαφέρȣσι καθὰ καὶ Ἀμμώνιος ὁ λαμπρεὺς ἐν πρώτῳ περὶ Θυσιῶν. φησὶ γάρ· Βωμοὶ μὲν γὰρ οἱ τὰς προβάσεις ἔχοντες. Ἐσχάρα δὲ, ἡ πρὸς τὴν βιωτικὴν γινομένη, ἐπὶ τῆς τάδε πολυεςία. τὸ δὲ Μέγαρον, ἡ περιοικοδομημένη ἑςία, ἔνθα τὰ μυςικὰ τῆς Δήμητρος. Παρὰ δ' Ὁμήρῳ Ἐσχάρα ἡ αὐτὴ καὶ Ἑςία καλεῖται· ὁ δὲ Βωμὸς καὶ τὴν βάσιν σημαίνει.

Χρύ-

τεῖν ὡς Δημοσθένης ἐν τῷ περὶ Στεφάνȣ, αὖτι δύσκολον συμβῇ, τȣ̃το βασκαίνȣσιν.

„ Βεβλῆσθαι καὶ Οὐτᾶσθαι διαφέρει. Βεβλῆσθαι μὲν γὰρ ἐπὶ τὸ ἐκβολῆς τετρῶσθαι, καὶ ἐκ τῶν ἐναντίων. Οὐτᾶσθαι δὲ, τὸ ἐκ χειρὸς τετρῶσθαι.

„ Βιȣ̃ν καὶ Ζῆν διαφέρει. Βιȣ̃ν μὲν γὰρ, ἐπὶ ἀνθρώπων μόνων λέγεται. Ζῆν δὲ, ἐπὶ ἀνθρώπων καὶ ἀλόγων ζώων ἤδη δέποτε καὶ ἐπὶ φυτῶν.

„ Βίος Ζωῆς διαφέρει. Βίος μὲν ἐπὶ τῶν λογικῶν τάσσεται ζώων, τȣτέστιν ἀνθρώπων μόνων. Ζωὴ δὲ ἐπὶ τῶν ἀνθρώπων, καὶ ἐπὶ τῶν ἀλόγων ζώων. Ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως· Βίος ἐστὶ λογικὴ ζωή. ὁ δὲ ἐπὶ τῶν θηρίων βίον τάσσων, ἀκυρολογεῖ.

„ Βιῶναι μέν ἐστι τὸ ζῆν· Βιοτεύειν δὲ, τὸ πορίζειν τὰ πρὸς τὸν βίον. Βιȣ̃ν μὲν φήσαμεν ἀνθρώπȣς· Ζῆν δὲ καὶ τὸ ἄλογον ζῶον.

„ Βλέπειν καὶ Θεᾶσθαι διαφέρȣσι. Βλέπειν μὲν γὰρ κυρίως, τὸ ὁρᾶν τι ἁπλῶς. Θεᾶσθαι δὲ τὸ ὁρᾶν τὶ τῶν τεχνικῶς γινομένων, οἷον πάλην, παγκράτιον, γραφήν.

„ Βλέφαρα καὶ Βλεφαρίδες διαφέρȣσι. Βλέφαρα μὲν γάρ ἐστιν αὐτὰ τὰ ἐπικλειόμενα δέρματα. Βλεφαρίδες δὲ, αἱ τρίχες αἱ ἐπὶ τῶν βλεφάρων.

„ Βόεος καὶ Βόειος διαφέρει. Βόεος μὲν γὰρ ὁ τȣ̃ ἔστιν ἐπὶ ζῶντος. Βόειος δὲ, ὁ τȣ̃ νεκρȣ̃.

„ Βούλει καὶ Βούλῃ διαφέρει. τὸ Βȣ́λει μὲν γὰρ ὁριστικόν ἐστιν, οἷον βȣ́λει κολάσαιμι. τὸ βȣ́λῃ δὲ, διστακ-

# B

Βασιλεὺς, Κοίρανος, καὶ Ἡγεμὼν διαφέρει. Βασιλεὺς μὲν γάρ ἐστιν ὁ πατρόθεν, ἢ ἀπὸ γονῆς τὴν ἀρχὴν παραλαβών. Κοίρανος δὲ, ὁ πρὸς καιρὸν τὸ τοῦ Βασιλέως ἔργον ἐπιτελῶν, οἷος ἦν πρὸ τῆς μήνιδος ὁ Ἀχιλλεύς.

Ὥς ὅγε κοιρανέων δίεπε στρατόν·

Ἡγεμὼν δέ ἐστιν ὁ τάξεως στρατιωτικῆς ἡγούμενος, ὡς ὁ Ποιητής φησιν,

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι.

» Βάρβαρον καὶ Βαρβαρικὸν διαφέρει Βάρβαρον μὲν γάρ ἐστιν ὄνομα τὸ οὐχ ἑλληνικόν. Βαρβαρικὸν δὲ, τὸ τῶν βαρβάρων.

» Βάραθρος καὶ Βάραθρον διαφέρει. Βάραθρος μὲν γὰρ, ὁ βαράθρου ἄξιος ἄνθρωπος. Βάραθρον δὲ ὄρυγμά τι ἐν Ἀθήνησιν, εἰς ὃ τοὺς κακούργους ἐνέβαλλον, ὥσπερ οἱ Λακεδαιμόνιοι τοὺς καταδικαζομένους ἔβαλλον εἰς τὴν κεάδα.

» Βασιλεία καὶ Βασίλεια διαφέρει. προπερισπωμένως μὲν, ἡ Βασιλέως ἀρχή. προπαροξυτόνως δὲ, ἡ Βασιλέως γυνή.

» Βάρις μέν ἐστιν Αἰγύπτιον πλοῖον. Λέγεται δὲ καὶ ἡ μεγάλη οἰκία, ὡς ὑπὸ Φιλίππου.

» Βάσανος, ἤτε δοκιμασία, καὶ ἡ τῶν πληγῶν.

» Βασκαίνειν οὐ μόνον τὸ φθονεῖν, ἀλλὰ καὶ συκοφαντεῖν

„ Ἄστρον καὶ Ἀστὴρ διαφέρει. Ἄστρον μὲν γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων μεμορφωμένον ζώδιον, οἷον Ὠρίων, Ἄρκτος. Ἀστὴρ δὲ, ὁ εἷς.

„ Ἀτέχνως καὶ Ἀτεχνῶς διαφέρει. τὸ μὲν γὰρ παροξύτονον σημαίνει τὸ χωρὶς τέχνης, καὶ ἀμαθῶς. τὸ δὲ περισπώμενον τίθεται ἀντὶ τοῦ ἁπλῶς, καὶ ἀδήλως, καὶ καθάπαξ, καὶ καθόλου, ἄντικρυς, ἢ φανερῶς.

„ Ἀτιμοῦται καὶ Ἀτιμάζεται διαφέρει. Ἀτιμοῦται μὲν γάρ τις ὑπὸ τῶν νόμων ὁλοσχερεῖ ἀτιμίᾳ. Ἀτιμάζεται δὲ ὁ ὑβριζόμενος ἔν τινι πράγματι.

„ Ἄττα ψιλούμενον καὶ δασυνόμενον διαφέρει. ψιλούμενον μὲν γὰρ σημαίνει τὸ τινά. δασυνόμενον δὲ, τὸ ἅτινα.

„ Ἀτελὲς καὶ Ἀτέλεστον διαφέρει. Ἀτελὲς μὲν γάρ ἐστι τὸ μήπω τετελεσμένον. Ἀτέλεστον δὲ τὸ ἀδύνατον τελεσθῆναι. οἱ οὖν ἐναλλάσσοντες ταῦτα, ἀκυρολογοῦσιν.

„ Αὐχὴν καὶ Δέρη διαφέρει. Αὐχὴν μὲν γὰρ λέγεται τὸ ὄπισθεν τοῦ τραχήλου· Δέρη δὲ τὸ ἔμπροσθεν, καθ' ὅ ἐστιν ἡ φάρυγξ.

„ Αὖθις καὶ Αὖθι χωρὶς τοῦ σ διαφέρει. τὸ μὲν αὖθις ἐστὶ τὸ πάλιν, ἢ μετὰ ταῦτα. τὸ δ' αὖθι, αὐτόθι. καθὼς οὖν Καλλίμαχός φησιν.

Αὖθι τόδ' ἐκδύοιμι. ἀντὶ τοῦ μετὰ ταῦτα.

„ Αὖθις, διὰ μὲν τοῦ θ, σημαίνει τὸ πάλιν. διὰ δὲ τοῦ τ, τὸ ὕστερον.

„ Ἄχρι χωρὶς τοῦ σ, χρονικὸν ἐπίρρημα. Ἄχρις δὲ μετὰ τοῦ σ, ἀντὶ τοῦ ἀκριβῶς ἀπέκοψεν.

Βασι-

γὰρ, ὁ νοσῶν. Ἀῤῥωςῶν δέ ἐςιν, ὁ ἀδυνατῶν ἐπιτελεῖν τὰ κατὰ τὰς ὀρέξεις, ὡς Ἀριςοφάνης φησίν.

„ Ἀῤῥωςεῖν τοῦ Νοσεῖν διαφέρει. Ἀῤῥωςεῖ μὲν γὰρ ὁ καχεκτῶν τῷ σώματι, νοσεῖ δὲ ὁ κλινήρης.

„ Ἀῤῥωδεῖν καὶ Ὀῤῥωδεῖν διαφέρει. τὸ μὲν γὰρ διὰ τοῦ ο, σημαίνει τὸ εὐλαβεῖσθαι. οὕτως γὰρ ἐξηγοῦνται τὴν λέξιν. Ὄῤῥος λέγεται ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὃν τινὲς ταῦρον λέγουσιν. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος οὗτος ὀῤῥόπυγον καλεῖται, οὐχ᾽ ὡς τινες ἀγνοοῦντες, ὀρθοπύγιον. ἐτύμως δ᾽ εἴρηται ὄῤῥος ὢν τῆς πυγῆς, καὶ οἱονεὶ ὀροπύγιον. οἱ δὲ εὐλαβούμενοι περί τινος, ἀνασπᾷν εἰώθασι τὸ αἰδοῖον. πολλάκις δὲ καὶ τὰ ἄλογα τῶν ζώων ὑποςέλλειν εἰώθασι τὴν οὐρὰν, ὅταν εὐλαβεῖται. εὐλόγως οὖν ἐκ τοῦ παρακολουθοῦντος τὸ ὀῤῥωδεῖν εἴρηται ἐπὶ τοῦ εὐλαβεῖσθαι. καὶ Εὐριπίδης τὸν Περσέα λέγοντα εἰσάγει·

Τὰς συμφορὰς γὰρ τῶν κακῶς πεπραχότων.
Οὐ πώποθ᾽ ὕβρισ᾽, αὐτὸς ὀῤῥωδῶν παθεῖν.

καὶ τὸ μὲν Ὀῤῥωδεῖν τοιοῦτον. τὸ δ᾽ Ἀῤῥωδεῖν, οἷον κατὰ ςέρησιν, τοῦτ᾽ ἔςι μὴ εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν, καὶ τεθαῤῥηκέναι.

„ Ἀσφόδελος καὶ ἀσφοδελὸς διαφέρει. προπαροξυτόνως μὲν γὰρ τὸ φυτόν. ὀξυτόνως δ᾽ ὁ τόπος.

κατ᾽ ἀσφοδελὸν λειμῶνα.

„ Ἀςεῖος καὶ ἀςικὸς διαφέρει. Ἀςεῖος μὲν γὰρ ὁ πιθανὸς καὶ χαρίεις, ἢ καθόλου ἐπιδέξιος ἐν πολιτικῇ ὁμιλίᾳ. Ἀςικὸς δὲ, ὁ ἐν ἄςει διατρίβων.

„ Ἄςρον

Ποτήριον, τράπεζαν, ἁρπάγην, δεύτερον κάδον.
Καὶ ἐν Ἡνιόχῳ,

Τὸν παῖδα δ' οὐ δίδομεν, ἀλλ' ἁρπάγην
Αὐτῷ κατασκευάζομεν.

„ Ἄρα, καὶ ἆρα διαφέρει. ὁ μὲν γὰρ κατὰ περισπασμὸν λεγόμενος, σύνδεσμος ἀπορρηματικός ἐστιν, ὅτε ἀπορῦντες λέγομεν. Ἆρα τέλος ἕξει τὸ πρᾶγμα. ὁ δὲ κατὰ συστολὴν συλλογιστικός. εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι. ἀλλὰ μὴν ἡμέρα ἐστί Φῶς ἄρα ἐστί. Εἰ τὸ συμφέρον ποιεῖν, ποιητέον ἡμῖν ἄρα ἐστί.

„ Ἄρτι, καὶ ἀρτίως διαφέρει. Ἄρτι μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα· τὸ δ' ἀρτίως, ἐπὶ τοῦ ἀπηρτισμένου ἔργου τελείως. ὥστε ἁμαρτάνει Σαπφὼ, λέγουσα·

Ἀρτίως μὲν ἁ χρυσοπέδιλος αὔ.

ὡς ἀντὶ χρονικοῦ ἐπιρρήματος. Παρὰ δὲ τοῖς ἀττικοῖς ἀρτίως σημαίνει αὐτῆς τῆς ὥρας. τὸ δ' ἄρτι παρατατικὸς, καὶ ἐπὶ τοῦ παρῳχηκότος.

„ Ἀράχνη καὶ ἀράχνιον διαφέρει Ἀράχνη μὲν γὰρ θηλυκῶς, τὸ ὕφασμα, καὶ οὐδετέρως τὸ ἀράχνιον. ἀρσενικῶς δὲ ὁ ἀράχνης τὸ ζῶον.

„ Ἄρνες καὶ ἀρνειοὶ διαφέρουσιν. Ἄρνες μὲν γὰρ λέγονται οἱ νεογνοί·

Ὥς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον.

Ἀρνειοὶ δὲ, οἱ προήκοντες τῇ ἡλικίᾳ.

Ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ,
Ὅς τ' οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων.

„ Ἄρρωστος καὶ ἀρρωστῶν διαφέρει. Ἄρρωστος μὲν

γάρ,

ὑπὸ τῆς πολιτῶς.

,, Ἀποκριθῆναι καὶ Ἀποκρίνεσθαι διαφέρει. Ἀποκριθῆναι μὲν γάρ ἐστι τὸ ἀποχωρισθῆναι. Ἀποκρίνεσθαι δὲ τὸ ἐρωτηθέντα λόγον δοῦναι.

,, Ἀπονίψασθαι, καὶ κατὰ χειρὸς ὕδωρ αἰτῆσαι, διαφέρει. Ἀπονίψασθαι μὲν γάρ ἐστι μετὰ τὸ φαγεῖν. Κατὰ χειρὸς δὲ ὕδωρ αἰτῆσαι, πρὸ τοῦ φαγεῖν.

,, Ἀποφορὰ καὶ Ἀναφορὰ διαφέρει. Ἀποφορὰ μὲν γάρ ἐστιν ὁ νῦν καλούμενος φόρος. Ἀναφορὰ δὲ, ὁ ἀπὸ τῶν εὐωδῶν, ἢ δυσωδῶν ἀναφερόμενος ὀσμός.

,, Ἀπέθανε καὶ Τέθνηκε διαφέρει. Ἀπέθανε μὲν νῦν, τέθνηκε δὲ πάλαι. ὡς περιεπάτησε μὲν ὁ δεῖνα σήμερον, περιπεπάτηκε δὲ πάλαι.

,, Ἀπόδοσις μὲν ἀψύχου λέγεται, ἀποκατάστασις δὲ ἐμψύχου καὶ ἀγομένου.

,, Ἄρχειν καὶ Κρατεῖν διαφέρει. Ἄρχειν μὲν γὰρ, τὸ τινῶν ἐπ' ὠφελείᾳ προΐστασθαι. Κρατεῖν δὲ, τὸ βίᾳ τινὰς ἄγειν ὑπακουομένους ἐπὶ δουλείᾳ. καθ' ὃ καὶ τῶν θηρίων κρατεῖν, ἀλλ' οὐκ ἄρχειν λέγεται.

,, Ἁρπαγὴ καὶ ἁρπάγη διαφέρει παρὰ τοῖς παλαιοῖς ἀττικοῖς, ὥς φησι Τρύφων ἐν τῷ Τρίτῳ περὶ ἀττικῆς προσῳδίας. ἐὰν μὲν ὀξυτόνως προσενεγκώμεθα, καθάπερ ἐν τῇ συνηθείᾳ, τὴν ἀφνίδιον καὶ μετὰ βίας ἀφαίρεσιν δηλώσει. ἐὰν δὲ βαρυτόνως ἁρπάγην, ὡς ἀνάφην, οἷς ἐκ τῶν φρεάτων τοὺς κάδους ἐξαίρουσι. καὶ παρὰ Μενάνδρῳ ἀναγινώσκομεν·

τος γέγονεν.

„ Ἀπολογεῖσθαι καὶ ἀπολογίζεσθαι διαφέρει. Ἀπολογεῖσθαι μὲν γάρ ἐστι τὸ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν. Ἀπολογίζεσθαι δὲ, τὸ ἀποδοῦναι τὸν λόγον τῶν δαπανημάτων. καὶ γὰρ τὸ ἁπλοῦν λογίζεσθαι καὶ λογισταὶ, ἀριθμηταί.

„ Ἀποδρᾶναι καὶ ἀποφεύγειν διαφέρει. Ἀποδρᾶναι μὲν γὰρ, τὸ ἀναχωρήσαντά τινα εὔδηλον εἶναι ὅπου ἐστίν· Ἀποφεύγειν δὲ, τὸ μὴ δύνασθαι ἐπιληφθῆναι. λέγει δὲ Ξενοφῶν τὴν διαφορὰν ἐν τῇ ἀναβάσει· οὔτε ἀποδεδράκασιν, (οἶδα γὰρ ὅπου οἴχονται) οὔτε ἀποφεύγουσιν.

„ Ἀπὸ καὶ Παρὰ διαφέρει. ἡ μὲν γὰρ ἀπὸ τίθεται ἐπὶ τῶν ἀψύχων. οἷον ἀπ' Ἀθηνῶν. ἡ δὲ Παρὰ, ἐπὶ τῶν ἐμψύχων. οἷον, παρὰ Σωκράτους. οἱ ἐναλλάσσοντες δὲ ἁμαρτάνουσιν, ἢ ἀλλαγῇ προθέσεως χρῶνται, ὡς καὶ Ὅμηρος,

παρὰ νηῶν ἀνιόντε.

ἀντὶ τοῦ ἀπὸ τοῦ νηῶν. Ὡς καὶ ἀλλαχοῦ φησὶ κυρίως,

Οὔ τέ ποτε προζ ἔποντο μελαινάων ἀπὸ νηῶν.

„ Ἀπελεύθερος καὶ Ἐξελεύθερος διαφέρουσιν. Ἀπελεύθερος μὲν γάρ ἐστιν ὁ ἐκ δούλου ἠλευθερωμένος. Ἐξελεύθερος δὲ, ὁ γενόμενος διὰ χρέα προσήλυτος, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς. ἤδη μέντοι ἀδιαφόρως χρῶνται τοῖς νοήμασιν.

„ Ἀποφορὰ καὶ Εἰσφορὰ διαφέρει. Ἀποφορὰ μὲν γάρ ἐστι τὰ ἀπὸ τῶν δούλων τοῖς δεσπόταις παρεχόμενα χρήματα, ἣν καὶ ἀναφορὰν καλοῦσιν. Εἰσφορὰ δὲ, τὰ

ὑπὸ

ἀνεψιῶν παῖδες.

„ Ἀναγκάζειν καὶ Βιάζεσθαι διαφέρει. Ἀναγκάζειν μὲν γάρ ἐστιν ἐπὶ ἐμψύχων. Βιάζεσθαι δὲ ἐπὶ ἀψύχων. οἷον, βιάζεσθαι τὴν ναῦν.

„ Ἄναρχον καὶ Ἀναίτιον διαφέρει. ὅτι τὸ μὲν ἀναίτιον πρὸς ἕτερον λέγεται. τὸ δ' ἄναρχον πρὸς ἑαυτόν.

„ Ἄντρον καὶ Σπήλαιον διαφέρει. Ἄντρον μὲν, τὸ αὐτοφυὲς κοίλωμα, Σπήλαιον δὲ τὸ χειροποίητον.

„ Ἄνοια καὶ Ἀφροσύνη διαφέρει. Ἀνόητος μὲν γάρ ἐστιν ὁ μηδὲν νοῶν. Ἄφρων δὲ, ὁ νοῶν μὲν, οὐ φρονίμως δὲ διοικῶν.

„ Ἄξονες καὶ Κύρβεις διαφέρει. οἱ μὲν ἄξονες ἦσαν τετράγωνοι. οἱ δὲ κύρβεις τρίγωνοι. καὶ οἱ μὲν ἄξονες εἶχον τοὺς ἰδιωτικοὺς ἐγγεγραμμένους, οἱ δὲ κύρβεις δημοσίας ἱεροποιίας, καὶ ἔτι ἕτερον τοιοῦτον.

„ Ἀξιόχρεως μέν ἐστιν ὁ ἐπιλῦσαί τι ἱκανὸς. Ἀξιόπιστος δὲ, ὁ πιστεύεσθαι ἄξιος.

„ Ἀξίωμα μέν ἐστι τὸ καθ' ὑπερβολὴν διαπρέπον. Ἀξία δὲ, ἡ ἐκ δοκιμασίας εὐαρέστησις.

„ Ἀποστάσιος Ἀπροστασίου διαφέρει. Ἀποστασίου μὲν δίκην ἔλεγον, ὁπότε ἀπελεύθερος κρίνοιτο, ὡς ἀποστὰς τοῦ δεσπότου. Ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐγκαλοῖτο, ὡς μὴ ἔχων προστάτην.

„ Ἀποκήρυκτος, καὶ Ἐκποίητος διαφέρει. Ἀποκήρυκτος μὲν γάρ ἐστιν, ὁ ἐπὶ ἀδικήματι ὑπὸ τοῦ πατρὸς ἐκβληθεὶς τῆς οἰκίας. Ἐκποίητος δὲ, ὁ δοθεὶς ὑπὸ τοῦ πατρὸς εἰς υἱοθεσίαν ἄλλῳ. ὃ λέγουσιν, εἰσποίη-

„ Ἀνάμνησις ϗ Ὑπόμνησις διαφέρει. Ἀνάμνησις μὲν γάρ ἐστιν, ὅταν τὶς ἔλθῃ εἰς μνήμην τῶ παρελθόντων. Ὑπόμνησις δὲ, ὅταν ὑφ' ἑτέρου εἰς τοῦτο προαχθῇ.

„ Ἀναβάλλεσθαι ϗ Ὑπερτίθεσθαι διαφέρει. Ἀναβάλλεσθαι μὲν γάρ ἐστι τὸ προΐεσθαι, καὶ παριέναι τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεων. Ὑπερτίθεσθαι δὲ, τὸ ἐπιμένειν τὸν ἐπιτήδειον καιρὸν τῆς πράξεων.

„ Ἀνακωχὴ καὶ ἀνοκοχὴ διαφέρει. Ἀνακωχὴ μὲν γάρ ἐστιν ἡ ἐπὶ τῆς νεῶν ἀναχώρησις, ἡ δὲ διὰ τοῦ ο Ἀνοκοχὴ, ἀποχὴ μακρὰ πολέμου. Διακωχὴ ϗ ἀκωχὴ, Διάλειψίς τις καὶ ἄνεσις.

„ Ἀνάλγητος καὶ ἀναλγὴς διαφέρει. Ἀνάλγητος μὲν γάρ ἐστιν ὁ ἀνεπίστρεπτος τοῦ καθήκοντος. Ἀναλγὴς δὲ, ὁ μὴ ἀνέων.

„ Ἄντικρυς καὶ Ἀντικρὺ διαφέρει. Ἀντικρὺ μὲν γὰρ τὸ ἐπ' εὐθείας, καὶ ἐξ ἐναντίας, χωρὶς τοῦ σ, ὡς καταντικρύ. Ἄντικρυς δὲ, τὸ διαῤῥήδην καὶ φανερῶς, καὶ ἐπ' εὐθείας τοπικόν.

„ Ἀναβάτης καὶ Ἐπιβάτης διαφέρει. Ἀναβάτης μὲν γὰρ ἐπὶ ἵππου, Ἐπιβάτης δὲ, ἐπὶ νηός.

„ Ἀναστῆναι καὶ Ἐγερθῆναι διαφέρει. Ἀναστῆναι μὲν γὰρ ἐπὶ ἔργον, Ἐγερθῆναι δὲ ἐξ ὕπνου.

„ Ἀναγόμενοι καὶ Ἐγερθέντες διαφέρει. Ἀνήγοντο μὲν γὰρ οἱ πλέοντες, ἀναγόμεναί τε αἱ νῆες. ἀνήχθησαν δέ τινες εἰς τὸ στρατηγεῖον.

„ Ἀνεψιοὶ καὶ Ἐξανεψιοὶ διαφέρουσιν. Ἀνεψιοὶ μὲν γάρ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες. Ἐξανεψιοὶ δὲ, οἱ τῶν

σιν. Ἀμφότεροι τὴν δοκὸν μίαν ὄσαν φέρουσιν. Ἑκάτεροι δὲ, ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ· οἷον ἑκάτερος αὐτὴν δοκὸν φέρων. ἤτοι ὅταν ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ᾽ ἰδίαν.

„ Ἀμύνεσθαι καὶ Ἀμύνειν διαφέρει. Ἀμύνεσθαι μὲν γάρ ἐστι τὸ κολάζειν τοὺς προαδικήσαντας. Ἀμύνειν δὲ, τὸ βοηθεῖν.

„ Ἁμαρτάνει μὲν ὁ πλημμελῶν, Διαμαρτάνει δὲ ὁ ἀποτυγχάνων.

„ Ἄμητος καὶ Ἀμητὸς διαφέρει. Ἄμητος μὲν γὰρ προπαροξυτόνως, σημαίνει αὐτὰ τὰ θερίσματα, τοῦτ᾽ ἔστι τὸν καρπόν. ὀξυτόνως δὲ, ὁ καιρὸς τοῦ θερισμοῦ. ὥσπερ καὶ ὁ τρυγητὸς, τοῦ τρυγᾶν.

Ἄμαθος καὶ Ψάμαθος διαφέρει. Ἄμαθος μὲν γὰρ, ἡ ἐν πεδίῳ κόνις. Ψάμαθος δὲ, ἡ παραθαλασσία ἄμμος.

„ Ἀνακεῖσθαι καὶ Κατακεῖσθαι διαφέρει. Ἀνάκειται μὲν γὰρ ὁ ἀνδριὰς καὶ ἡ εἰκὼν τῷδε κατὰ τιμὴν, Κατάκειται δὲ ὁ εὐωχούμενος.

„ Ἀνδραγάθημα καὶ Ἀνδρεία διαφέρει. Ἀνδραγάθημα μὲν γάρ ἐστιν, εἰ καὶ τὴν ψυχικὴν ἀρετὴν ἔχει μαρτυροῦσαν. Ἀνδρεία δὲ, δύναμις ἐπαινουμένη.

„ Ἀνοχὴ καὶ Ἐπικηρυκεία διαφέρει. Ἀνοχὴ μὲν γάρ ἐστιν ἡ ἐν πολέμῳ διά τινα χρείαν ἀναβολὴ κατὰ συνθήκην, κοινῇ τοῦ ἐπιέναι ἀλλήλοις. Ἐπικηρυκεία δέ ἐστιν, ὅταν οἱ ἕτεροι πέμπωσι τοὺς αἰτησομένους ἀνοχὰς, ἢ σπονδὰς, ἢ εἰρήνην.

„ Ἀνάμ-

δαλῆ μὲν γὰρ περισπωμένως, τὸ δένδρον δηλοῖ. Α᾽μυγδάλη δὲ παροξυτόνως, τὸν καρπόν. καθὰ καὶ Ε᾽ύπολις ἐν ταξιάρχοις φησί·

Δίδε μασᾶσθαι ἀξίας ἀμυγδάλας.

„ Α῞μα καὶ Ο῾μοῦ διαφέρει. Α῞μα μὲν γάρ ἐστι χρονικὸν ἐπίρρημα. Ο῾μοῦ δὲ, τοπικόν. Σόλων μὲν γὰρ ἅμα ἐγένετο Α᾽ναχάρσιδι τῷ Σκύθῃ, εἴπερ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν· ὁμοῦ μέντοι οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ τόπῳ ἐγεννήθησαν ἀλλ᾽ ὁ μὲν Α᾽θήνησιν, ὁ δ᾽ ἐν Σκυθίᾳ. καὶ Ο῞μηρος διαστέλλει,

Ε῎νθ᾽ ἅμα οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν,
Ο᾽λλύντων καὶ ὀλλυμένων. ἀντὶ τοῦ κατὰ τὸν αὐτὸν χρόνον.
καὶ, Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ᾽ ἡγεμόνεσσιν ἕκαστοι.
καὶ, Οἱ δ᾽ ἅμα πάντες ἐφ᾽ ἵπποισι μάστιγας ἄειραν.

τοπικῶς δὲ τὸ ὁμοῦ, τῇ ὁμοῦ ἐτρεφόμην. καὶ πάλιν.

Α᾽λλ᾽ ἅθ᾽ ὁμοῦ πίνακάς τε κρεῶν, καὶ σώματα φωτῶν.

ἀντὶ τῶν, ἐν τῷ αὐτῷ τόπῳ. καὶ,

Τοὺς περ καὶ δύο παῖδε λάβε κρείων Α᾽γαμέμνων,
Εἰν ἑνὶ δίφρῳ ἐόντας, ὁμοῦ δ᾽ ἔχον ὠκέας ἵππους.

ἔσθ᾽ ὅτε δ᾽ ὁ Ποιητὴς τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὡς φησὶν Α᾽σκληπιάδης.

Εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς ἀχαιούς.

εἰ μὴ ἄρα τις εἴποι, καὶ νῦν δὲ ὁμοῦ, ἐν τῷ αὐτῷ τόπῳ. οἷον, ἐν Τροίᾳ ὅ,τε λοιμὸς καὶ ὁ πόλεμος δαμάζει τοὺς Α᾽χαιούς.

„ Α᾽μφότεροι καὶ Ε᾽κάτεροι διαφέρουσιν. Α᾽μφότεροι μὲν γὰρ ἔρουμεν, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττω-

παροξυτόνως, τὸ κατ' ἐπερώτησιν λεγόμενον.

„ Ἀλοᾶν καὶ Ἀλοιᾶν διαφέρει. Ἀλοᾶν μὲν γὰρ δασέως, ἐπὶ τῆς ἅλω πατεῖν καὶ τρίβειν τὰς στάχυας. Ἀλοιᾶν δὲ ψιλῶς, τὸ τύπτειν. Ἀριστοφάνης,

Ἢ μητέρ' ἠλοίησεν, ἢ πατρὸς γνάθον ἐπάταξεν.

Ἀφ' οὗ καὶ μητραλοίαν φαμὲν καὶ πατραλοίαν.

„ Ἀλλοίωσις Ἑτεροιώσεως διαφέρει. Ἀλλοίωσις μὲν γὰρ οὐ μόνον μεταχαρακτηρισμὸς, ἀλλὰ καὶ τῆς πρότερον ὑπολήψεως οἴησις ἑτέρα. ἑτεροίωσις δὲ, ὅταν ἑτέρου χρώματος εἰς ἕτερον μεταβάλλῃ.

„ Ἀλίπαστον καὶ ἁλίσπαρτον διαφέρει. τὸ μὲν γὰρ ἁλὶ πεπασμένον κρέας ἢ ἰχθὺν, ἔλεγον ἁλίπαστον. Ἁλίσπαρτον δὲ, τὴν ἁλὶ ἐσπαρμένην χώραν, ὡς τινῶν φθονερῶν τοῦτο ποιούντων. ὅθεν καὶ ὁ Βίος τοὺς ἠκισμένους, καὶ δυσθεραπεύτως ἔχοντας τὰ σώματα, ἁλισπάρτους καλεῖ.

„ Ἄλλος καὶ Ἕτερος διαφέρει. Ἕτερος μὲν, ἐπὶ δυοῖν, Ἄλλος δὲ, ἐπὶ πλειόνων.

„ Ἁματροχία καὶ ἁρματροχία διαφέρει. Ἁματροχία μὲν γάρ ἐστιν ἡ εἰς ταυτὸ συνδρομὴ τῶν ἁρμάτων.

Τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχίας ἀλεείνων.

Ἁρματροχία δὲ, ὁ τύπος καὶ ἡ ἐγχάραξις τοῦ τροχοῦ ἡ ἐπὶ τῆς γῆς.

Γίνετ' ἐπισσώτρων ἁρματροχία κατόπισθεν
οὐδέτι πολλὴ ἐν λεπτῇ κονίῃ.

„ Ἀμυγδαλῆ καὶ Ἀμυγδάλη διαφέρουσιν. Ἀμυγδαλῆ

„ Αἴθε καὶ Ὤφελον διαφέρει. τὸ μὲν γάρ ἐστιν ἀπαρεμφάτων προσώπων. τὸ δ' ὤφελον ἐμφαίνει πρόσωπα, οἷον, ὤφελον ἐγὼ, ὤφελες σὺ, ὤφελεν ἐκεῖνος. διὸ τὸ αἴθε ἐστὶν ἐπίρρημα, τὸ δ' ὤφελον, ῥῆμα.

„ Αἰκίαι καὶ Ὕβρεις διαφέρουσιν. Αἰκίαι μὲν γάρ εἰσιν αἱ αὐταὶ προπηλακισμῶν πληγαί. καθὰ καὶ Δημοσθένης ὁ ῥήτωρ φησὶν, ὕβρισμαι μὲν ἐγὼ, προπεπηλάκισται δὲ σῶμα τοὐμόν.

„ Αἰπόλος καὶ Ποιμὴν διαφέρει. Αἰπόλος μὲν γὰρ ὁ ἐπὶ τῶν αἰγῶν τεταγμένος νομεύς. Ποιμὴν δὲ, ὁ ἐπὶ τῶν προβάτων.

Ἀκταὶ καὶ Θῖνες διαφέρουσιν. Ἀκταὶ μὲν γάρ εἰσιν οἱ πετρώδεις τόποι τῆς θαλάσσης· Θῖνες δὲ, οἱ ἀμμώδεις.

„ Ἀκόντιον Δόρατος διαφέρει. Ἀκόντιον μὲν γὰρ, τὸ ἀκοντιζόμενον ἔλαττον δόρατος· Δόρυ δὲ, τὸ μεῖζον, ὡς ἐκ χειρὸς ἐχρῶντο. παρὰ δὲ Ὁμήρῳ, καὶ τὸ δόρυ προΐενται.

„ Ἀκαιρία Ἀσχολίας διαφέρει. Ἀκαιρία μὲν γάρ ἐστιν ἔνδεια καιροῦ ἐπιτηδείου. Ἀσχολία δὲ, ἡ περί τι ἄλλο ἀναστροφή.

„ Ἀκαρὴς σὺν τῷ σ, καὶ ἀκαρῆ ἄνευ τοῦ σ, διαφέρει. Ἀκαρῆ μὲν ἄνευ τοῦ σ, σημαίνει τὸ παρὰ βραχὺ· οἷον, οὐδ' ὅσον ἀκαρῆ τῆς τύχης ἐπίσταμαι. Ἀκαρὴς δὲ σημαίνει τὸ παρὰ βραχὺ ὄν. Κατέπεσον ἀκαρὴς τῷ δέει.

„ Ἀληθὴς καὶ Ἄληθες διαφέρει. Ἀληθὲς μὲν γὰρ ὀξυτόνως, τὸ ἐναντίον τῷ ψεύδει. Ἄληθες δὲ προ-

τοῖς νομιζομένοις αἰσχροῖς.

„ Αἶνος καὶ Παροιμία διαφέρει. ὁ μὲν γὰρ Αἶνος, ἐστὶ λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζώων, ἢ φυτῶν, πρὸς ἀνθρώπους εἰρημένος, ὡς φησὶ Λούκιος Ταῤῥαῖος ἐν τῷ πρώτῳ Παροιμιῶν. οἷον, ἀπὸ μὲν Ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ.

Αἶνός τις ἀνθρώπων ὅδ', ὡς ἄρ' ἀλώπηξ τε, κἀετὸς.
Ξυνωνίαν ἔθεντο. καὶ τὰ ἑξῆς. Καὶ πάλιν ὅταν λέγῃ.
Ἐρέω τὶν' ὑμῖν αἶνον ὦ Κηρυκίδη,
Ἀχνυμένη σκυτάλη. εἶτ' ἐπιφέρει.
Πίθηκος ἤει θηρίων ἀποκριθεὶς,
Μοῦνος ἀν' ἐσχατιήν.
Τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο,
Πυκνὸν ἔχουσα νόον.

καὶ Ἡσίοδος.

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω νοέουσι καὶ αὐτοῖς.
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.

Ἀπὸ δὲ Φυτῶν, ὡς παρὰ Καλλιμάχῳ,

Ἄκουε δὴ τὸν αἶνον, ἐν κότε Τμώλῳ,
Δάφνην ἐλαίην εἰκὸς οἱ παλαιοὶ Λυδοὶ
Λέγουσι θέσθαι. καὶ τὰ ἑξῆς. Καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία μετὰ διηγήσεως, ἀπαρτίζουσα τὸ νοούμενον, πρὸς παραμυθίαν τε καὶ ὠφέλειαν ἀνθρώπων. Παροιμία δὲ ἡ τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει ἐνδέχουσαν τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένη μετάβασιν. οἷον Μένε βοῦς πότ' ἐν βοτάνῃ, καὶ ἀλκισσὸς μετ' ἀνθεστήρια.

„ Ἀδεὴς καὶ Ἀδαὴς διαφέρει. Ἀδεὴς μὲν γὰρ διὰ τοῦ ε ψιλοῦ, ὁ ἄφοβος· διὰ δὲ διφθόγγου, ὁ ἀμαθής.

„ Ἄελλα καὶ Θύελλα διαφέρει. Ἄελλα μὲν, ἄνεμα συνεστραμμένον. Θύελλα δὲ, ἄελλα θύουσα καὶ ὁρμῶσα.

„ Ἆθλος καὶ Ἆθλον διαφέρει. Ἀρσενικῶς μὲν γὰρ τὸν Ἀγῶνα δηλοῖ, οὐδετέρως δὲ τὸ ἔπαθλον.

Οὗτος μὲν γὰρ ἄεθλος, ἄατος ἐκτετέλεσται.

Ἐπὶ δὲ τῶν ἐπάθλων· Ἀέθλια ποσσ' ἀνελόντες.

„ Ἀθῆναι καὶ Ἀττικὴ διαφέρει. Ἀθῆναι μὲν γὰρ ἡ πόλις ἐστὶν, Ἀττικὴ δὲ ἥ τε πόλις καὶ ἡ χώρα.

„ Αἰτῶ καὶ Αἰτοῦμαι διαφέρει. τὸ μὲν γὰρ αἰτῶ ἐπὶ τοῦ ἅπαξ τι λαβεῖν, καὶ μὴ ἀποδοῦναι. τὸ δ' αἰτοῦμαι, ἐπὶ τοῦ χρήσασθαι εἰς ἀπόδοσιν. Μένανδρος ἐν τῷ ὕμνιδι διαστέλλει.

Οὐ πῦρ γὰρ αἰτῶ, οὐδὲ λωπάδ' αἰτοῦμαι.

„ Αἰδὼς καὶ Αἰσχύνη διαφέρει, ὅτι ἡ μὲν Αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον, ὡς σεβόμενος τις ἔχει. Αἰσχύνη δὲ ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται, ὡς μὴ δέον τι πράξας. Καὶ αἰδεῖται μέν τις τὸν πατέρα, αἰσχύνεται δὲ ὃς μεθύσκεται. Διαστέλλει δὲ Ἀριστόξενος ὁ Μουσικὸς τὴν διαφορὰν ἐν τῷ πρώτῳ νόμῳ παιδευτικῶν· φησὶ γάρ· Διαφορὰν τὴν δὲ νομιστέον Αἰδοῦς τε καὶ Αἰσχύνης, ὅτι ἡ μὲν Αἰδὼς, πρὸς ἡλικίαν, πρὸς ἀρετὴν, πρὸς ἐμπειρίαν, πρὸς εὐδοξίαν· ὁ γὰρ ἐπιστάμενος αἰδεῖσθαι, πρὸς ἑκάστην τῶν εἰρημένων ὑπεροχῶν προσέρχεται, οὕτως διακείμενος, οὐ διὰ τὸ ἡμαρτηκέναι τι, ἀλλὰ διὰ τὸ σέβεσθαι καὶ τιμᾶν τὰς εἰρημένας ὑπεροχάς. ἡ δ' Αἰσχύνη, πρῶτον μὲν πρὸς πάντα ἄνθρωπον, ἔπειτα ἐπὶ

Διάγγελοι.) Αὐτάγγελος δὲ, ὁ τὰ ἑαυτοῦ διαγγέλλων, καὶ μὴ ὑφ' ἑτέρου.

„ Ἄγειν καὶ Φέρειν διαφέρει. Ἄγεται μὲν τὰ ἔμψυχα, φέρεται δὲ τὰ ἄψυχα.

Οἱ δ' ἦγον μὲν μῆλα, φέρων δ' εὐήνορα οἶνον.

„ Ἀγχιστεῖς, καὶ Συγγενεῖς, καὶ Οἰκεῖοι διαφέρουσιν. Ἀγχιστεῖς μὲν γὰρ, οἷς, ἐπειδάν τις ἐκ τοῦ γένους ἀποθάνῃ, συγχωρεῖ ὁ νόμος ἀντιποιεῖσθαι τῶν τοιούτων δικαίων. Συγγενεῖς δὲ, οἱ ὄντες ἐκ τοῦ αὐτοῦ γένους, οὐ καλούμενοι δὲ ὑπὸ τῶν νόμων ἐπὶ τὰ ἀγχιστικὰ δίκαια. Οἰκεῖοι δὲ, οἱ κατ' ἐπιγαμίαν ἐπιμιχθέντες τῷ οἴκῳ.

„ Ἀγροῖκος καὶ Ἄγροικος διαφέρει· προπερισπωμένως μὲν, ὁ ἐν ἀγρῷ κατοικῶν· προπαροξυτόνως δὲ, ὁ σκαιὸς τοὺς τρόπους.

„ Ἄγριος καὶ ἀγρεῖος διαφέρει. Ἄγριος μὲν γάρ ἐστιν ὁ ὠμός. Ἀγρεῖος δὲ, ὁ ἀγροῖκος.

„ Ἀγνοεῖν καὶ ἀμφαγνοεῖν διαφέρει. Ἀγνοεῖν μὲν γάρ ἐστι τὸ καθόλου μηδὲν εἰδέναι· ἀμφαγνοεῖν δὲ, τὸ ἔν τισιν ἐπιδιστάζειν.

„ Ἀγωνοθέται μὲν ἐπὶ τῶν σκηνῶν λέγονται, Ἀθλοθέται δὲ ἐπὶ τῶν γυμνικῶν.

„ Ἀγρονόμος, ἐὰν μὲν παροξύνωμεν, ἐστιν ὁ ἐν ἀγροῖς νεμόμενος· τὰ γὰρ προπαροξυνόμενα χωροῦσιν ἀναλύεσθαι εἰς πάθη.

„ Ἀγόραιος, ἐὰν προπαροξυτόνως, σημαίνει τὸν πονηρὸν τὸν ἐν ἀγορᾷ τεθραμμένον· ἐὰν δὲ προπερισπωμένως, σημαίνει τὸν ἐν ἀγορᾷ τιμώμενον.

# ΑΜΜΩΝΙΟΥ

## Περὶ Ὁμοίων καὶ Διαφόρων Λέξεων.

### Α

Ἄβαξ καὶ Ἀβάκιον διαφέρει. Ἄβαξ μὲν γὰρ, ἐφ' οὗ τὰ πράγματα παρατιθέασιν· Ἀβάκιον δὲ, ἐφ' οὗ ψηφίζουσιν.

„ Ἀβέβηλα καὶ Βέβηλα διαφέρουσιν, ἄμφω ἐπ' ἀγαθῷ λαμβανόμενα. Ἀβέβηλα μὲν, καὶ τὰ ἱερὰ, καὶ τὰ ἄψαυστα, καὶ μὴ βάσιμα. Βέβηλα δὲ, τὰ ὅσια μὲν, οὐχ ἱερὰ δὲ, οἷον βάσιμα ὄντα. ἡ δὲ κοινὴ χρῆσις τοῦ βεβήλου τὴν ἐναντιωτάτην ἔχει πρὸς τὸ Ἀβέβηλον διαφοράν.

„ Ἄγγελος, καὶ Ἐξάγγελος, καὶ Ὑπάγγελος διαφέρουσιν. Ἄγγελος μὲν γὰρ, ὁ πῶς ἀγγέλλων τὰ ἔξωθεν. Ἐξάγγελος δὲ, ὁ τὰ ἔνδοθεν τοῖς ἔξω διαγγέλλων (ὃν Θουκυδίδης Διάγγελον λέγει· ἦσαν γάρ τινες τῷ Νικίᾳ

Διάγ-

δ. Πῶς δὲ ἐν Προσώπῳ;

σ. Ὡς ὅταν τὶς εἴπῃ, ἐκεῖνος πατὴρ ὢν, περὶ τοῦ ἰδίου παιδὸς μεριμνήσω, ἀντὶ τοῦ μεριμνήσει.

δ. Πῶς δὲ ἐν χρόνῳ;

μ. Ἐγὼ δ᾽ ἄγω Βρισηΐδα, ἀντὶ τοῦ ἄξω.

δ. Πῶς δὲ ἐν Διαθέσει;

ρ. Ὁρῶμαι τὸν ἄνθρωπον, ἀντὶ τοῦ ὁρῶ.

δ. Πῶς δὲ ἐν Προθέσεσιν;

μ. Εἰς τὴν πόλιν οἰκῶ· ἐν τῇ πόλει ἀπέρχομαι· ἀντὶ ἐν τῇ πόλει οἰκῶ, εἰς τὴν πόλιν ἀπέρχομαι. εἰς Ἀγαμέμνονα δῖον, ἀντὶ πρὸς Ἀγαμέμνονα.

δ. Πῶς δὲ ἐν Ἐπιρρήμασιν;

μ. Εἴσω δόρπου ἐκόσμει, ἀντὶ τοῦ ἐντός· καὶ ἐγγύθεν ἱσταμένη, ἀντὶ τοῦ ἐγγύς.

δ. Πῶς δὲ καὶ ἐν Συνδέσμοις;

μ. Αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ᾽ ἑτάρου πέμπω, ἀντὶ τοῦ ἑταῖρον δέ. καὶ Κρατερὸν δ᾽ ἐπὶ μῦθον ἔτελλεν, ἀντὶ τοῦ κρατερὸν γάρ. Τὰ πλείω γε μὴν τύπων, εἰ καὶ τοῖς Ποιηταῖς σχήματά τινά ἐστιν, ἡμῖν μέντοι ὡς ὑποδείγματα εἴρηται τοῦ περὶ τὸν πεζὸν λόγον Σολοικισμοῦ.

Τέλος τῆς Σταχυολογίας.

# ΠΕΡΙ' ΣΟΛΟΙΚΙΣΜΟΥ.

δ. Τί ἐστι Σολοικισμός;

μ. Σολοικισμός ἐστιν ἁμάρτημα περὶ λόγον. ἢ ἐξ ἐτυμολογίας· Ο' Σολοικισμός ἐστιν, ὁ τοῦ σώου λόγου αἰκισμός· ἤγουν ὕβρις τοῦ ὁλοκλήρου λόγου.

δ. Ποσαχῶς γίνεται ὁ Σολοικισμός;

μ. Καὶ οὗτος τετραχῶς· ἢ Ε'νδεία, οἷον ἔρχονται πεδίοιο. λείπει γὰρ ἡ διά· Η῀ Πλεονασμῷ, οἷον ἐξ οὐρανόθεν· πλεονάζει γὰρ ἡ ἐξ· Η῀ Μεταθέσει, οἷον ἡ νῦν ἡμέρα δίδωσί μοι ἢ δόξαν, ἤτοι διαβολήν· τὸ γὰρ ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἢ διαβολήν Η῀ Ε'ναλλαγῇ, ἤτοι μεταλήψει, οἷον τόξων εὖ εἰδώς, ἀντὶ τοῦ τοξεύειν εὖ εἰδώς. νέον δ' ἐς ἀγήρατο θυμόν, ἀντὶ τοῦ νεωστί.

δ. Ποῦ δὲ ὁ Σολοικισμὸς γίνεται;

μ. Ε'ν Γένει, ἐν Α'ριθμῷ, ἐν Πτώσει, ἐν Προσώπῳ, ἐν Χρόνῳ, ἐν Διαθέσει, ἐν Προθέσει, ἐν Ε'πιρρήμασι, καὶ ἐν Συνδέσμοις.

δ. Πῶς γίνεται ὁ Σολοικισμὸς ἐν Γένει;

μ. Ω'ς ὅταν τὶς εἴπῃ, ἐκεῖνος πατὴρ οὖσα, περὶ τοῦ οἰκείου παιδὸς μεριμνήσει· τὸ γὰρ ὀρθῶς ἔχον ἐστὶν, ἐκεῖνος πατὴρ ὤν. ἢ ἐκείνη μήτηρ ὤν, ἀντὶ ἐκείνη μήτηρ οὖσα.

δ. Πῶς δὲ ἐν Α'ριθμῷ;

μ. Ω'ς ὅταν τὶς εἴπῃ, ἐκεῖνος Πατέρες ὄντες, ἀντὶ τοῦ ἐκεῖνος πατὴρ ὤν.

δ. Πῶς δὲ ἐν Πτώσει;

μ. Ω'ς ὅταν τὶς εἴπῃ, ἐκεῖνος πατὴρ ὄντος, ἀντὶ ἐκεῖνος πατὴρ ὤν.

αἰχίνυ. καὶ τὸ φαύλως διαιρέμενον, οἷον κο'ίλον, ἀντὶ κοῖλον. Ἢ Μεταθέσει, οἷον κραδία, ἀντὶ καρδία. κότραφον, ἀντὶ κρόταφον. Ἢ Ἐναλλαγῇ, ἤτοι μεταλήψει, οἷον αἱμηπότης, ἀντὶ αἱμοπότης. φιέλη, ἀντὶ φιάλη.

δ. Ποῦ γίνεται ὁ Βαρβαρισμός.

μ. Περὶ γραφὴν, περὶ κλίσιν, περὶ τόνον, περὶ χρόνον, καὶ περὶ πνεῦμα.

δ. Πῶς γίνεται ὁ Βαρβαρισμὸς περὶ γραφὴν.

μ. Ὡς ὅταν τὶς γράψῃ φήλος διὰ τοῦ η, ὀφείλων γράψαι φίλος διὰ τοῦ ι. ἢ χιμὼν διὰ τοῦ ι, ἀντὶ χειμὼν διὰ του ει.

δ. Πῶς γίνεται περὶ κλίσιν;

μ. Ὡς ὅταν τὶς εἴπῃ ὁ αἰνείας, τοῦ αἰνεία καὶ ἡ δευτέρα, τῆς δευτέρης ἀντὶ αἰνείου, καὶ δευτέρας.

δ. Πῶς δὲ περὶ τόνον;

μ. Ὡς ὅταν τὶς εἴπῃ, ἀνθρωπὸς ὀξυτόνως, ὀφείλων εἰπεῖν προπαροξυτόνως ἄνθρωπος. ἢ πόταμος, ἀντὶ ποταμός. καὶ λάμπρος, ἀντὶ λαμπρός.

δ. Πῶς δὲ περὶ χρόνον;

μ. Ὡς ὅταν τὶς τὸ μακρὸν συστείλῃ, γράψας ζοὴ διὰ τοῦ ο, ἀντὶ ζωὴ διὰ τοῦ ω. Ἢ τὸ βραχὺ ἐκτείνῃ, γράψας κώρη διὰ τοῦ ω, ἀντὶ κόρη διὰ τοῦ ο.

δ. Πῶς δὲ περὶ πνεῦμα;

μ. Ὡς ὅταν τὶς τὴν Ὑπὲρ ψιλώσῃ Πρόθεσιν, ὀφείλων δασῦναι· ἢ τὴν Ἐπὶ δασύνῃ Πρόθεσιν, ὀφείλων ψιλῶσαι.

δ. Πόσα εἰσὶ τὰ μέχρι Παρατατικοῦ σχηματιζόμενα, εἴτ' οὖν κλινόμενα.

μ. Ἑπτά.

δ. Ποῖα;

μ. Τὰ εἰς σκω, οἷον διδάσκω, ἀναγινώσκω. Τὰ εἰς ἀμετάβολον μετὰ ἄφωνον. οἷον πέφνω, δάκνω, ὄφλω. Τὰ εἰς ἄφωνον μετὰ ἀμετάβολον, ὅσα κακόφωνα, οἷον ἔλδομαι, ἔρχομαι, ῥέμβω, σπένδω. Τὸ δὲ μέλπω, πέμπω, ἄρχω, μέμφομαι, οὐ κακόφωνα; Τὰ παράγωγα εἰς αθω, εθω, υθω, ειναω, ανω, οἷον διωκάθω, εἰργάθω, φλεγέθω, φθινύθω, φαείνω, μανθάνω. ἅπερ ἀπὸ τῶν Πρωτοτύπων σχηματίζονται, οἷον διώκω, εἴργω, φλέγω, καὶ τὰ λοιπά. Τὰ ἀπὸ ἐνεστῶτος, οἷον τελείω, ἐρείω, κιχείω, ἀπὸ τοῦ τελέω, ἐρέω, κίχω. Τὰ ἀπὸ Μέλλοντος, οἷον βρωσείω, κλεψείω, ἀπὸ τοῦ βρώσω, κλέψω. Τὰ τῷ ι παραλήγοντα δισύλλαβα μετὰ διπλοῦ τελικοῦ, οἷον ἴσχω, τίκτω, μίμνω, ἀπὸ τῶν παραληγόντων τῷ ε παραγόμενα, οἷον ἔχω, τέκω, μένω.

## ΠΕΡΙ ΒΑΡΒΑΡΙΣΜΟΥ

δ. Τί ἐστι Βαρβαρισμός;

μ. Βαρβαρισμός ἐστιν ἁμάρτημα περὶ λέξιν.

δ. Ποσαχῶς γίνεται ὁ Βαρβαρισμός;

μ. Τετραχῶς, ἢ Ἐνδείᾳ, ὡς ὅταν τις βαρβαρίζων εἴπῃ, δημοσθένου, ἀντὶ τοῦ δημοσθένους· γέγραφαν, ἀντὶ γεγράφασι. Ἢ Πλεονασμῷ, οἷον αἰσχίνους, ἀντὶ αἰσχίνου.

δ. Τί διαφέρει ὁ Μεταπλασμὸς τῆς κατὰ Θέμα διαφορᾶς;

μ. Ὅτι οὗτος μὲν πλάττει χρόνον ἄνευ σχηματισμοῦ. ἐκείνη δὲ πλάττει τὸ θέμα, καὶ τοὺς χρόνους σχηματίζει.

δ. Ἡ δὲ κατὰ Σχηματισμὸν ποσαχῶς;

μ. Δεκαχῶς. Ἢ κατὰ τελικὸν, οἷον δέδοικα Μέσος Παρακείμενος, ἀντὶ δέδοικα, ὅτι ὁ Ἐνεστὼς δείδω. πέφρικα, ἀντὶ πέφριγα ἔδωκα, ἀντὶ ἔδωσα. ἔθηκα, ἀντὶ ἔθησα. Ἢ κατὰ παραλήγουσαν οἷον εὑρέθη, ἐβράφη, ἐγράφη, ἀντὶ τοῦ εὑρήθη· ἐβρέφη, ἐγρέφη. Ἢ κατὰ μακρὰν χρονικὴν αὔξησιν, οἷα τὰ ἀττικὰ, ἠδυνάμην, ἠβουλόμην, ἀντὶ ἐδυνάμην, ἐβουλόμην. Ἢ κατὰ κοινὴν αὔξησιν ἄνευ ἀναδιπλώσεως, οἷον ἔγνωκα, ἐγρηγόρηκα, ἀντὶ γέγνωκα, γεγρηγόρηκα. Ἢ κατὰ ἀναδίπλωσιν, ἀντὶ μόνης αὐξήσεως, οἷον πέπτωκα, πέπταμαι, κέκτημαι, μέμνημαι, μεμνήστευμαι, ἀντὶ ἔπτωκα, ἔπταμαι. καὶ τὰ ἑξῆς. Ἢ κατὰ χρονικὴν αὔξησιν διπλῆν ἐν συνθέτοις, οἷον ἠνώχλουν, ἠνώρθουν, ἠνεσχόμην, δεδιῄτηκα, πεπαρῴνηκα, ἀντὶ ἐνώχλουν, ἀνώρθουν, ἀνεσχόμην, διῄτηκα, παρῴνηκα. Ἢ κατὰ αὔξησιν τῆς προθέσεως, οἷον ἤνεπον, ἐκαθεζόμην, ἐκάθευδον, ἐκάθαιρον. Ἢ κατὰ τὸ ἀσχημάτιστον τοῦ Ἐνεστῶτος, οἷον εἷλον, ἔφαγον, ἔθανον, εἶπον, καὶ εἶπα. ὧν οἱ Ἐνεστῶτες πλάττονται μὲν, ἕλω, φάγω, ἔπω οὐκ εἰσὶ δέ. Ἢ κατὰ προσῳδίαν, ἤτοι Πνεῦμα, καὶ Τόνον, οἷον ἔχω. ἕξω. ἕστακα, ἕστω, ἐλθὲ, εὑρὲ, κιὼν, ἰών. Ἢ κατὰ σχηματισμὸν τοῦ Ἐνεστῶτος μέχρι Παρατατικοῦ.

δ. Πό-

τω ἄχρηστον τὸ πίπτω, πεσοῦμαι, ἀντὶ πέσομαι. οἴομαι, οἰήσομαι. Ἢ ἀπὸ περισπωμένου εἰς βαρύτονον, οἷον δοκέω, ῶ, δόξω, οὗ ὁ Ἐνεστὼς δόκω ἄχρηστος. αὐξέω, ῶ, αὔξω, αὐξήσω. Ἢ ἀπὸ βαρυτόνων καὶ περισπωμένων εἰς μι, οἷον ἀπὸ τοῦ ζάω, ῶ, ζῆθι. ἀπὸ τοῦ βιόω, ῶ, βιῶναι. ἀπὸ τοῦ θνήσκω, τεθναίην, καὶ τεθνάναι.

δ. Ποσαχῶς δὲ ἡ κατὰ Γένος, ἤτοι Διάθεσιν;

μ. Πενταχῶς· ἢ ἀπὸ ἐνεργητικοῦ εἰς παθητικὸν, οἷον ἐλεύθω, ἐλεύσομαι. θνήσκω, θανοῦμαι· Ἢ ἀπὸ παθητικοῦ εἰς ἐνεργητικὸν, οἷον γίνομαι, γέγονα· Ἢ κατὰ σημασίαν ἀπὸ ἐνεργητικοῦ εἰς παθητικὸν, οἷον πλήτω, πέπληγα. Ἢ ἀπὸ ἐνεργητικοῦ εἰς οὐδέτερον, οἷον πείθω, πέποιθα. Ἢ ἀπὸ οὐδετέρου εἰς ἐνεργητικὸν, οἷον βασιλεύω ἀμετάβατον, βασιλεύω σε μεταβατικόν. καὶ ζήσεις με παρὰ τῇ Θείᾳ Γραφῇ.

δ. Ἡ δὲ κατὰ Χρόνον, ποσαχῶς;

μ. Τριχῶς· ἢ ἀπὸ Παρακειμένου εἰς Ἐνεστῶτα κατὰ σημασίαν, οἷον δέδοικα, καὶ δέδια τὸ φοβοῦμαι. οἶδα τὸ γινώσκω. πέποιθα τὸ ἐλπίζω. Ἢ ἀπὸ Ὑπερσυντελικοῦ εἰς Παρατατικὸν, οἷον εἱστήκει, τουτέστιν ἵστατο. Ἢ ἀπὸ Ἐνεστῶτος εἰς Μέλλοντα, οἷον ἐρχόμενον μετὰ δόξης, ἤτοι ἐλευσόμενον. ἔδομαι τὸ φαγοῦμαι.

δ. Ἡ δὲ κατὰ Μεταπλασμὸν ποσαχῶς;

μ. Μοναχῶς· ἀπὸ θέματος εἰς θέμα, οἷον πῖθι, κατὰ κρᾶσιν τοῦ πίεθι, ἀντὶ πίε· κέκραχθι. ἀντὶ τοῦ κέκραγε Προστακτικοῦ. ἄνωχθι, ἀντὶ ἄνωγε.

δ. Τὶ

Κυρίου ὀνόματος, ἀφ' ὧ προσηγόρευτο.

δ. Ποῖα τούτων φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις πτώσεσι

μ. Τὰ βαρύτονα πάντα, οἷον τρήρων, τρήρωνος. κρότων κρότωνος. πλὴν τοῦ λακεδαίμων, λακεδαίμονος. ἐφύλαξε γὰρ τὸ τῆς ἁπλοῦ κλίσιν, τοῦ δαίμων, δαίμονος.

δ. Τὰ δὲ ὀξύτονα φυλάττουσι τὸ ω ἐν ταῖς ἄλλαις πτώσεσιν;

μ. Ἔγωγε.

δ. Ποῖα;

μ. Τὰ ὀνόματα τῶν πόλεων, οἷον Σιδὼν, σιδῶνος. Καλιδὼν, καλιδῶνος. πλὴν τῶν εἰς δων, τῶν ἢ πηραληγόντων. ταῦτα γὰρ τρέπουσι τὸ ω εἰς ο ἐν τοῖς πλαγίαις, οἷον Σηδὼν, σηδόνος. Ἀσπληδὼν, ἀσπληδόνος. Χαλκηδὼν, χαλκηδόνος.

δ. Ποῖα δὲ τούτων τρέπουσιν αὐτὸ εἰς ο ἐν ταῖς πλαγίαις;

μ. Τὰ μὴ ὄντα ὀνόματα πόλεων, οἷον τρυγὼν, τρυγόνος. χελιδὼν, χελιδόνος. πλὴν τοῦ μελεδὼν, μελεδῶνος καὶ τυφεδὼν, τυφεδῶνος.

## Τεχνολογία Ω τῶν Ἀνωμάλων Ῥημάτων, καὶ περὶ Βαρβαρισμοῦ, καὶ Σολοικισμοῦ.

δ. Πόσαι διαφοραὶ τῶν Ἀνωμάλων Ῥημάτων;

μ. Πέντε, Θέμα, Γένος, Χρόνος, Μεταπλασμὸς, καὶ Σχηματισμός.

δ. Ποσαχῶς γίνεται ἡ κατὰ Θέμα διαφορά;

μ. Τριχῶς ἢ ἀπὸ βαρυτόνου εἰς περισπώμενον, οἷον πέτω ἄχρι

καὶ τὰ φύσει μακρᾷ παραλήγοντα ὑπερδισύλλαβα, οἷον παιήων, παιήονος.

δ. Τὰ δὲ εἰς ων Συγκριτικά;

μ. Καὶ ταῦτα ὁμοίως τρέπουσιν αὐτὸ εἰς ο, οἷον μείζων, μείζονος. καλλίων, καλλίονος. Καὶ τὰ εἰς ων δισύλλαβα μὴ παρώνυμα, δύο σύμφωνα κατὰ σύλληψιν ἔχοντα, οἷον τέκτων, τέκτονος. ἄκμων, ἄκμονος. Ἔτι δὲ καὶ τὰ παρὰ τοῦ φρὴν σύνθετα, οἷον ἄφρων, ἄφρονος· δαΐφρων, δαΐφρονος.

δ. Τὰ δὲ εἰς ω ἔχοντα θηλυκὸν εἰς αινα, τρέπουσι τὸ ω εἰς ο ἐν ταῖς πλαγίαις;

μ. Ἔγωγε, οἷον λέων, λέοντος, ὅτι λέαινα. θεράπων θεράποντος, ὅτι θεράπαινα. Καὶ τὰ εἰς δων ὑπερδισύλλαβα μὴ παρώνυμα ὁμοίως, οἷον κελάδων, κελάδοντος. σαρπήδων, σαρπήδοντος.

δ. Τὰ δὲ ἀπὸ τοῦ Ὄδους σύνθετα τρέπουσι τὸ ω εἰς ο ἐν ταῖς πλαγίαις;

μ. Ἔγωγε, οἷον θερμώδων, θερμώδοντος. χαλκώδων, χαλκώδοντος. Ἔτι δὲ καὶ τὰ εἰς θων ὑπερδισύλλαβα μετοχικὰ, οἷον φαέθων, φαέθοντος. πυριφλεγέθων, πυριφλεγέθοντος.

δ. Τὰ δὲ εἰς ων λήγοντα θηλυκὰ ὀνόματα, ὁποῖα εἰσὶ κατὰ τόνον.

μ. Ἢ ὀξύτονα, ὡς τρυγὼν, ἀηδὼν· ἢ βαρύτονα, ὡς ξήρων, μήκων· οὐδέποτε δὲ περισπώμενα. πλὴν ἑνὸς, ἡ Κτησιφῶν, τῆς Κτησιφῶντος, ὄνομα πόλεως Περσίδος, φυλάξαν καὶ τὸν τόνον καὶ κλίσιν τοῦ

νος. Θράσων, Θράσωνος. πλὴν τοῦ ἰάσων, ἰάσονος. Τὰ εἰς θων, μόθων, μόθωνος. Τὰ εἰς φων, ζύφων, τρύφωνος. Τὰ εἰς χων, γλίχων, γλίχωνος. Τὰ εἰς κων, γλαύκων, γλαύκωνος. πλὴν τοῦ κύκων, κύκονος. Τὰ εἰς πων, δούπων, δούπωνος. Τὰ εἰς των, πλούτων, πλούτωνος.

δ. Τὰ δὲ πρὸ τοῦ ων ἀμετάβολον ἔχοντα, φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις;

μ. Ἔγωγε, οἷον γέλων, γέλωνος. τίμων, τίμωνος. σίνων, σίνωνος. χάρων, χάρωνος.

δ. Τὰ δὲ εἰς ων ἔχοντα πρὸ τοῦ ων δίχρονον συνεσταλμένον, φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις;

μ. Ἔγωγε, οἷον βυσσαρίων, βυσσαρίωνος. ἀμφιτρύων, ἀμφιτρύωνος.

δ. Τὰ δὲ εἰς ων Πατρωνυμικὰ φυλάττουσιν αὐτό;

μ. Ἔγωγε, οἷον πηλείων, πηλείωνος. κρονίων, κρονίωνος. Ἔτι δὲ καὶ τὰ εἰς ων ὑποκοριστικά, οἷον βάκχων, βάκχωνος. σίμων, σίμωνος.

δ. Ποῖα δὲ τούτων τρέπουσι τὸ ω εἰς ο ἐν ταῖς πλαγίαις;

μ. Τὰ ῥηματικά, οἷον φιλῶ, φιλήμων, φιλήμονος. νοῶ, νοήμων, νοήμονος. Καὶ τὰ κοινά, οἷον ὁ καὶ ἡ σώφρων, σώφρονος. ὁ καὶ ἡ γείτων, γείτονος. Πλὴν τοῦ ὁ καὶ ἡ αἴθων, αἴθωνος. ὁ καὶ ἡ εἴρων, εἴρωνος.

δ. Τὰ δὲ εἰς ων διχρόνῳ ἐκτεταμένῳ παραλήγοντα, τρέπουσι τὸ ω εἰς ο ἐν αὐταῖς;

μ. Ἔγωγε, οἷον μαχάων, μαχάονος. πρίων, πρίονος.

δ. Ποῖα δὲ τῶν ὀξυτόνων τρέπουσι τὸ ω εἰς ο ἐν ταῖς πλαγίαις;

μ. Τὰ εἰς ων καθαρὸν, βραχεῖ διχρόνῳ παραλήγοντα, οἷον ἀμφικτυὼν, ἀμφικτυόνος. περικτιὼν, περικτιόνος. πλὴν τοῦ κνακυὼν, κνακυῶνος· μακρὸν γὰρ τὸ κυ. Καὶ τὰ εἰς δων, οἷον σαρπηδὼν, σαρπηδόνος· μακεδὼν, μακεδόνος. Πλὴν τοῦ καλυδὼν, καλυδῶνος· καὶ ἀμυδὼν, ἀμυδῶνος, Κυρίων Ὀνομάτων· ἀφ' ὧν ἡ Καλυδὼν πόλις, καὶ ἡ Ἀμυδών.

δ. Ποῖα δὲ τῶν βαρυτόνων φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις;

μ. Τὰ Παρώνυμα, οἷον πλάτων, ἀπὸ τοῦ πλατὺς, πλάτωνος. τρύφων, ἀπὸ τῆς τρυφῆς, τρύφωνος. Πλὴν τῶν ἀπὸ τῶν εἰς ος παραγομένων συνθέτων, οἷον ἀναίμων, ἀπὸ τοῦ ἄναιμος, ἀναίμονος. κατα πύγων, ἀπὸ τοῦ καταπυγος, καταπύγονος. Τὰ εἰς ων Ἐθνικὰ, οἷον ἀργείων, ἀργείωνος. καδμείων, καδμείωνος. Τὰ εἰς βων, οἷον στράβων, στράβωνος. τρίβων, τρίβωνος. Τὰ εἰς γων δισύλλαβά τε, καὶ ὑπερδισύλλαβα, οἷον φλέγων, φλέγωνος. ἀρήγων, ἀρήγωνος. Τὰ εἰς δων, οἷον φαίδων, φαίδωνος. λάδων, λάδωνος. πλὴν τοῦ κνώδων, κνώδοντος. Καὶ τὰ εἰς δων παρώνυμα, οἷον κορύδων, ἀπὸ τοῦ κόρυδος, κορύδωνος. κινάδων, ἀπὸ τοῦ κίναδος, κινάδωνος. Τὰ εἰς ζων, ξων, σων, δισύλλαβα Κύρια, οἷον ῥίζων, ῥίζωνος. ἄξων, ἄξωνος.

δ. Τὰ δὲ εἰς εψ, ποσαχῶς;

μ. Μοναχῶς. φλὲψ, φλεβός.

δ. Τὰ δὲ εἰς ιψ, ποσαχῶς;

μ. Διχῶς. οἰκότειψ, οἰκότειβος. κατῆλιψ, κατήλιφος.

δ. Τὰ δὲ εἰς οψ, ποσαχῶς;

μ. Μοναχῶς. αἰθίοψ, αἰθίοπος.

δ. Τὰ δὲ εἰς υψ, ποσαχῶς;

μ. Διχῶς, θάρυψ, θάρυβος. κίνυψ, κίνυφος.

δ. Τὰ δὲ εἰς ωψ, ποσαχῶς.

μ. Μοναχῶς κώνωψ, κώνωπος.

δ. Τὰ εἰς ων λήγοντα Ἀρσενικὰ Ὀνόματα, ὁποῖά εἰσι κατὰ τόνον;

μ. Ἢ ὀξύτονα, ὡς ἑλικὼν, σαρπηδών· ἢ βαρύτονα, ὡς θέων, πλάτων· ἢ περισπώμενα, ὡς ξενοφῶν, ποσειδῶν. Καὶ τὰ μὲν τούτων φυλάττουσι τὸ ω καὶ ταῖς πλαγίαις, τὰ δὲ τρέπουσιν αὐτὸ εἰς ο ἐν αὐτῇ.

δ. Ποῖα τούτων φυλάττουσι τὸ ω ἐν ταῖς πλαγίαις;

μ. Τῶν ὀξυτόνων τὰ μονοσύλλαβα, οἷον κλὼν, κλωνός. φρὼν, φρωνός. Τὰ περιεκτικὰ, οἷον κοιτὼν, κοιτῶνος. παρθενὼν, παρθενῶνος. ἐλαιὼν, ἐλαιῶνος. τὰ ὡς περιεκτικὰ, οἷον ἀγὼν, ἀγῶνος. αἰὼν, αἰῶνος. Τὰ τῶν μηνῶν ὀνόματα, οἷον ἑκατομβαιὼν, ἑκατομβαιῶνος. μεταγειτνιὼν, μεταγειτνιῶνος. Τὰ διὰ τοῦ εων ὑπερδισύλλαβα, οἷον λεγεὼν, λεγεῶνος. τυφεὼν, τυφεῶνος. Καὶ τὰ εἰς ων περισπώμενα πάντα, οἷον ξενοφῶν, ξενοφῶντος. ποσειδῶν, ποσειδῶνος.

μ. Μοναχῶς. τὸ ἀληθὲς, τοῦ ἀληθέος, οῦς.
δ. Τὰ δὲ εἰς εὺς ποσαχῶς;
μ. Μοναχῶς. βασιλεὺς, βασιλέως.
δ. Τὰ δὲ εἰς ης, ποσαχῶς;
μ. Ἑξαχῶς. χρύσης, χρύσου. ὁ δρῆς, τοῦ δρῆ. πένης πένητος. αἰγλῆς, αἰγλῶντος. κλήμης, κλήμεντος. ἀληθὴς, ἀληθέος, οῦς.
δ. Τὰ δὲ εἰς ις, ποσαχῶς;
μ. Πενταχῶς. πατρὶς, πατρίδος. χάρις χάριτος. ὄρνις, ὄρνιθος. ὄφις, ὄφιος. ἀκτὶς, ἀκτῖνος.
δ. Τὰ δὲ εἰς ος, ποσαχῶς;
μ. Διχῶς· λόγος, λόγου. τεῖχος, τείχεος, ους.
δ. Τὰ δὲ εἰς ους, ποσαχῶς;
μ. Τετραχῶς· ποῦς, ποδός. νοῦς, νοός. ὀδοὺς, ὀδόντος. πλακοῦς, πλακοῦντος.
δ. Τὰ δὲ εἰς υς, ποσαχῶς.
μ. Τετραχῶς· βότρυς, βότρυος. ἡδὺς, ἡδέος. κόρυς, κόρυθος· χλαμὺς, χλαμύδος.
δ. Τὰ δὲ εἰς ως, ποσαχῶς,
μ. Πενταχῶς· αἰδὼς, αἰδόος, οῦς. ἥρως, ἥρωος. ἔρως, ἔρωτος. γεγραφὼς, γεγραφότος. μενέλεως, μενέλεω.
δ. Πόσα δὲ τὰ ψ;
μ. Ἕξ. αψ, εψ, ιψ, οψ, υψ, ωψ.
δ. Τὰ εἰς αψ λήγοντα, ποσαχῶς κλίνονται;
μ. Διχῶς. ἄραψ, ἄραβος. σκίραψ, σκίραφος.

μ. Διχῶς· μάκαρ, μάκαρος. φρέαρ, φρέατος.

δ. Τὰ δὲ εἰς ειρ, ποσαχῶς;

μ. Μοναχῶς. χεὶρ, χειρός.

δ. Τὰ δὲ εἰς ηρ, ποσαχῶς;

μ. Διχῶς. σωτὴρ, σωτῆρος. ἀςὴρ, ἀςέρος.

δ. Τὰ δὲ εἰς ορ, ποσαχῶς;

μ. Μοναχῶς. ἄορ, ἄορος.

δ. Τὰ δὲ εἰς υρ, ποσαχῶς;

μ. Μοναχῶς. πῦρ, πυρός.

δ. Τὰ δὲ εἰς ωρ, ποσαχῶς;

μ. Τειχῶς· ῥήτωρ, ῥήτορος. ἰχὼρ, ἰχῶρος. ὕδωρ, ὕδατος.

δ. Πόσαι δὲ τῷ σ;

μ. Δώδεκα· αις, ας, αυς, εις, ες, ευς, ης, ις, ος, ους, υς, ως.

δ. Τὰ εἰς αις λήγοντα, ποσαχῶς κλίνονται;

μ. Διχῶς. παῖς, παιδός. δαὶς, δαιτός.

δ. Τὰ δὲ εἰς ας, ποσαχῶς;

μ. Ἑξαχῶς, αἰνείας, αἰνείου. Θωμᾶς, Θωμᾶ. ἑλλὰς, ἑλλάδος. γίγας, γίγαντος. ἅλας, ἅλατος. μέλας, μέλανος.

δ. Τὰ δὲ εἰς αυς, ποσαχῶς;

μ. Μοναχῶς. ναῦς, ναός.

δ. Τὰ δὲ εἰς εις, ποσαχῶς;

μ. Τειχῶς. εἷς, ἑνός. κλεὶς, κλειδός. χαρίεις, χαρίεντος.

δ. Τὰ δὲ εἰς ες, ποσαχῶς;

μ. Μο-

ἀγὼν, ἀγῶνος. γέρων, γέροντος. ξενοφῶν, ξενοφῶντος. χρυσῶν, χρυσῦντος.

δ. Πόσαι δὲ τῦ ξ;

μ. Ὀκτὼ, αξ, αιξ, ηξ, ιξ, ιγξ, υξ, υγξ, ωξ.

δ. Τὰ εἰς αξ λήγοντα ποσαχῶς κλίνονται;

μ. Τειχῶς. ἅρπαξ, ἅρπαγος. κόραξ, κόρακος. ἄναξ, ἄνακτος.

δ. Τὰ δὲ εἰς αιξ, ποσαχῶς;

μ. Μοναχῶς. αἶξ, αἰγός.

δ. Τὰ δὲ εἰς ηξ, ποσαχῶς;

μ. Τετραχῶς. βύπληξ, βουπλῆγος. μύρμηξ, μύρμηκος. ἀλώπηξ, ἀλώπεκος. βὴξ, βηχός.

δ. Τὰ δὲ εἰς ιξ, ποσαχῶς;

μ. Τειχῶς. τέττιξ, τέττιγος. φοῖνιξ, φοίνοικος. θεὶξ, τειχός.

δ. Τὰ δὲ εἰς ιγξ, ποσαχῶς;

μ. Μοναχῶς. σάλπιγξ, σάλπιγγος.

δ. Τὰ δὲ εἰς υξ, ποσαχῶς;

μ. Τειχῶς. ὄρτυξ, ὄρτυγος. δοῖδυξ, δοίδυκος. ὄνυξ, ὄνυχος.

δ. Τὰ δὲ εἰς υγξ, ποσαχῶς;

μ. Διχῶς. λάρυγξ, λάρυγγος. λὺγξ, λυγκός.

δ. Τὰ δὲ εἰς ωξ ποσαχῶς;

μ. Διχῶς. ῥὼξ, ῥωγός. πτὼξ, Πτωκός.

δ. Πόσαι δὲ τῦ ρ;

μ. Ἓξ, αρ. ειρ. ηρ. ορ. υρ. ωρ.

δ. Τὰ εἰς αρ λήγοντα, ποσαχῶς κλίνονται;

μ. Διχῶς· δίκτυ, δίκτυος· ἄςυ, ἄςεος.

δ. Τὰ δὲ εἰς ω, ποσαχῶς;

μ. Μοναχῶς, λητὼ, λητόος, ὖς.

δ. Πόσαι καταλήξεις τοῦ ν;

μ. Ὀκτὼ, αν, ειν, ην, ιν, ον, ουν, ωων.

δ. Τὰ εἰς αν λήγοντα ποσαχῶς κλίνονται;

μ. Διχῶς, μελαν, μέλανος. πᾶν, παντός.

δ. Τὰ δὲ εἰς εν, ποσαχῶς.

μ. Διχῶς, ἄρσεν, ἄρσενος. χαρίεν, χαρίεντος.

δ. Τὰ δὲ εἰς ην, ποσαχῶς.

μ. Διχῶς, ἕλλην, ἕλληνος, ποιμὴν, ποιμένος.

δ. Τὰ δὲ εἰς ιν, ποσαχῶς;

μ. Μοναχῶς, ἀκτὶν, ἀκτῖνος.

δ. Τὰ δὲ εἰς ον, ποσαχῶς;

μ. Τειχῶς, ξύλον, ξύλου. νοῆμον, νοήμονος. γράφον, γράφοντος.

δ. Διατὶ τὸ Γράφον μετοχὴ ὂν, ἐν τοῖς ὀνόμασι τέτακται;

μ. Ὅτι καὶ αἱ Μετοχαὶ εἰσί τε καὶ λέγονται μετοχικὰ ὀνόματα.

δ. Τὰ δὲ εἰς ουν, ποσαχῶς;

μ. Τειχῶς· ποιοῦν, ποιοῦντος. δίπουν, δίποδος. ἁπλοῦν, ἁπλοῦ.

δ. Τὰ δὲ εἰς υν, ποσαχῶς;

μ. Διχῶς· φόρκυν, φόρκυνος. ζευγνὺν, ζευγνῦντος.

δ. Τὰ δὲ εἰς ων, ποσαχῶς;

μ. Ἑξαχῶς. εὔγεων, εὔγεω. ἡγεμὼν, ἡγεμόνος; ἀγὼν,

ὕλη. Τινὰ μέντοι οὐκ ἔχουσιν ἐναργῆ κανόνα, διὰ ἐμπειρίᾳ μᾶλλον, καὶ συνεχεῖ ἀναγνώσει προ- ειθήσονται.

## Τεχνολογία Ψ'. τῶν καταλήξεων τῶν Ὀνομάτων.

δ. ΠΟσαι εἰσὶν αἱ καταλήξεις πάντων τῶν Ὀνομάτων;

μ. Τεσσαρακονταπέντε.

δ. Εἰς πόσα γράμματα λήγουσιν αὗται;

μ. Εἰς δέκα, εἰς πέντε Φωνήεντα, καὶ εἰς πέντε Σύμφωνα.

δ. Ποῖά εἰσι τὰ Φωνήεντα;

μ. α, η, ι, υ, ω.

δ. Ποῖα δὲ τὰ Σύμφωνα;

μ. ν, ξ, ρ, σ ψ.

δ. Τὰ δὲ εἰς α λήγοντα Ὀνόματα ποσαχῶς κλίνονται;

μ. Τριχῶς, μαρία, μαρίας· μοῦσα, μούσης· βῆμα, βήματος.

δ. Τὰ δὲ εἰς η, ποσαχῶς;

μ. Μοναχῶς· τιμή, τιμῆς.

δ. Τὰ δὲ εἰς ι, ποσαχῶς;

μ. Τετραχῶς, σίνηπι, σινήπιος. φίλιρει, φιλέειδος: εὔχαρι, εὐχάριτος. φίλορνι, φιλόρνιθος.

δ. Τὰ δὲ εἰς υ, ποσαχῶς;

μ. Δι-

βραχεῖαν. πᾶς γὰρ Μέλλων συζυγίας τῆς πέμπτης τῶν βαρυτόνων ῥημάτων ἀεὶ βραχὺ παραλήκτει, οἷον μεγαλύνω, μεγαλυνῶ. ἰθύνω, ἰθυνῶ.

δ. Τὰ δὲ διὰ τοῦ υρω, ὁποίαν;

μ. Μακρὰν, οἷον κύρω, φύρω, πύρω.

δ. Τὰ δὲ εἰς νω εἴτε δισύλλαβα, εἴτε ὑπερδισύλλαβα, ὁποίαν;

μ. Ἐπὶ μὲν τοῦ Ἐνεστῶτος καὶ τῶν λοιπῶν παρῳχημένων κοινὴν πλὴν τοῦ δευτέρου Ἀορίστου. πᾶς γὰρ Ἀόριστος δεύτερος ἐνεργητικός τε καὶ παθητικὸς βραχὺ παραλήκτει, δίχρόνῳ παραλήγων, οἷον πτύω, πιπνύω, ἱδρύω, ἐρητύω, μυρύω, ὠρύω, ἐρύω, λύω, ῥύω, δακρύω, δύω, φύω, αὔω, ἐπὶ δὲ τοῦ Μέλλοντος ἀεὶ μακρὰν. τὰ μέντοι δισύλλαβα ὡς ἐπὶ τὸ πλεῖστον μακρὰν, καὶ τὰ ἐξ αὐτῶν παραγόμενα ὁμοίως, οἷον χύω, χρύσω, χρυσὸς, χρυσήλατος.

δ. Τὰ δὲ εἰς πτ ῥήματα, τῷ υ παραλήγοντα, ὁποίαν;

μ. Μακρὰν, οἷον κύπτω, τύπτω.

δ. Τὰ δὲ εἰς υναι ἀπαρέμφατα τῆς τετάρτης τῶν εἰς μι συζυγίας, ὁποίαν;

μ. Βραχεῖαν, οἷον ζευγνύναι, δεικνύναι.

δ. Αἱ δὲ ἀρχόμεναι ἀπὸ τοῦ υ λέξεις, ὁποῖον ἔχουσι τοῦτο;

μ. Αἱ μὲν Προθέσεις ἀεὶ βραχὺ, οἷον ὑπὸ ὑπέρ, τ' ἄλλα δὲ πάντα μακρὸν, οἷον ὕδωρ. ὑγρὸν, ὑμεῖς, ὕλη.

σ διὰ τὸν κανόνα, ἵνα μακροπαραλήξῃ.

δ. Τὰ δὲ εἰς υ λήγοντα, ὁποῖον ἔχουσι τὸ υ;

μ. Βραχὺ πανταχοῦ, οἷον ἄστυ, νάπυ, δόρυ, πολύ.

δ. Τὰ δὲ εἰς της, τῷ υ παραλήγοντα, ὁποῖον;

μ. Μακρὸν, οἷον πρεσβύτης.

δ. Τὰ δὲ εἰς λον, τῷ υ παραλήγοντα, ὁποῖον;

μ. Μακρὸν, οἷον σκῦλον, φῦλον. πλὴν τοῦ ξύλον.

δ. Τὰ δὲ ἐκ τοῦ ἀγκύλομαι, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀγκύλος, ἄγκυρα.

δ. Τὰ δὲ εἰς υνη, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Τὰ μὲν δισύλλαβα μακρὰν, οἷον μύνη, φρῦνη. πλὴν τοῦ γυνή. τὰ δὲ ὑπερδισύλλαβα βραχεῖαν, οἷον κορύνη.

δ. Τὰ δὲ διὰ τοῦ οσυνη, ὁποίαν;

μ. Εἰ μὲν πρὸ τοῦ συ, ω προηγεῖται, μακρὰν, οἷον ἁγιωσύνη· εἰ δὲ ο, βραχεῖαν, οἷον δικαιοσύνη, ἀγνωμοσύνη.

δ. Τὰ δὲ ἀπὸ τοῦ δύναμαι καὶ πύλη παράγωγα, ὁποῖον ἔχουσι τὸ υ;

μ. Βραχὺ, οἷον δύναμις, προπύλαια.

δ. Τὰ δὲ ἀπὸ διφθόγγου ἀπολειπόμενα παράγωγα, ὁποῖον;

μ. Βραχὺ, οἷον φεύγω, φυγή. ζεύγω, ζυγός.

δ. Τὰ δὲ εἰς λος, τῷ υ παραλήγοντα, ὁποῖον;

μ. Βραχὺ, οἷον χυλός.

δ. Τὰ δὲ διὰ τοῦ υνω ὑπερδισύλλαβα ῥήματα βαρύτονα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Ἐν μὲν τῷ Ἐνεστῶτι μακρὰν, ἐν δὲ τῷ Μέλλοντι

βρα-

πτὺξ, πτυχός. ςύξ, ςυγός.

δ. Τὰ δὲ εἰς υς ὀξύτονά τε κ̀ βαρύτονα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἡδύς, βότρυς.

δ. Τὰ δὲ εἰς υς περισπώμενα, εἴτε μονοσύλλαβα, εἴτε δισύλλαβα, ὁποῖον;

μ. Ἐν μὲν τῇ Ὀνομαςικῇ μακρὸν, ἐν δὲ ταῖς πλαγίαις βραχὺ, οἷον μῦς, μύος. σῦς, σύος. δρῦς, δρύος. ἰχθῦς, ἰχθύος, ὀφρῦς, ὀφρύος.

δ. Τὰ δὲ εἰς υψ, ὁποῖον;

μ. Ἐν μὲν τῇ Ὀνομαςικῇ μακρὸν, ἐν δὲ ταῖς πλαγίαις βραχὺ, οἷον χάλυψ, χάλυβος. κίνυψ, κίνυφος. γύψ, γυπός.

δ. Τὰ δὲ εἰς υνος δισύλλαβά τε καὶ ὑπερδισύλλαβα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Μακρὰν, οἷον φρῦνος, θῦνος, κίνδυνος, ἀνεύθυνος. τὸ δ' ἀνδρόγυνος, λάγυνος, καὶ τὰ ὅμοια, τὸν τοῦ Γυνὴ ἔχει χρόνον.

δ. Τὰ δὲ διὰ τοῦ υμα οὐδέτερα σύςοιχα ὄντα τῶν ἀπὸ τοῦ Παρακειμένου εἰς υμος ἀρσενικῶν, ὁποίαν.

μ. Μακρὰν, οἷον θῦμα, ῥῦμα, λῦμα, χῦμα, καὶ τὰ τούτων ἀρσενικὰ σύςοιχα ὡσαύτως. οἷον θῦμός, ῥῦμός, λῦμός, χῦμός. καὶ ὅλως τὰ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ Παρακειμένου ἀρσενικὰ εἰς μος, μακρὰν βούλεται ἔχειν τὴν παραλήγουσαν, εἴτοι φύσει, ἢ θέσει. ἐκ γὰρ τοῦ τέθυμαι, θυμὸς, καὶ θῦμα. καὶ τοῦ δέδεμαι, δεσμὸς, προσλαβὼν ὁ Δεσμὸς τὸ

δ. Τὰ δὲ εἰς μι ῥήματα, ὁποῖον ἔχουσι τὸ ι ἐν τῇ λήγουσῃ.

μ. Βραχὺ, οἷον τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι.

δ. Ὅσα δὲ τῶν Ἐπιῤῥημάτων εἰς ι, ἢ εἰς ις λήγουσιν, ὁποίαν ἔχουσι τὴν λήγουσαν;

μ. Βραχεῖαν, οἷον νυνί, αὖθις, δίς, πολλάκις, χωρὶς, μόλις.

δ. Ὅσοι δὲ τῶν Συνδέσμων εἰς ι λήγουσιν, ὁποίαν;

μ. Καὶ οὗτοι βραχεῖαν, οἷον ὅτι, διότι.

## Περὶ τοῦ Υ.

δ. ΤΑ εἰς υν ἀρσενικὰ καὶ θηλυκὰ βαρύτονα Ὀνόματα, ὁποῖον ἔχουσι τὸ υ;

μ. Ἐν μὲν τῇ Ὀνομαστικῇ βραχὺ, ἐν δὲ ταῖς πλαγίαις μακρὸν, οἷον ὁ φόρκυν, τοῦ φόρκυνος. ἡ γόρτυν, τῆς γόρτυνος.

δ. Τὰ δὲ εἰς υξ ἁπλᾶ, μακροπαράληκτα φύσει, ἢ θέσει, ὁποῖον;

μ. Ἐν μὲν τῇ Ὀνομαστικῇ βραχὺ, ἐν δὲ ταῖς πλαγίαις μακρὸν, οἷον κῆρυξ, κήρυκος. δοῖδυξ, δοίδυκος. αἶθυξ, αἴθυκος. θρᾶνυξ, θρανύκος. τὸ δὲ κόκκυξ, καὶ βόμβυξ, κἂν τῇ εὐθείᾳ μακρόν.

δ. Τὰ δὲ εἰς υξ ἁπλᾶ τε καὶ σύνθετα βραχυπαράληκτα, δισύλλαβά τε καὶ μονοσύλλαβα, ὁποῖον;

μ. Πανταχοῦ βραχὺ, οἷον σύζυξ, σύζυγος. ἄζυξ, ἄζυγος. πρόσφυξ, πρόσφυγος. ὄνυξ, ὄνυχος.

πτύξ,

μ. Φύσει βραχεῖαν, οἷον βαδίζω, ἀνακαινίζω.

δ. Τὰ δὲ εἰς ιν, ὁποίαν;

μ. Βραχεῖαν πανταχῦ, οἷον κρίνω, κλίνω. καὶ τὰ ἀπὸ τούτων ῥηματικὰ ὀνόματα ὁμοίως βραχὺ παραληκτῦσιν, οἷον κρίμα, κρίσις, κριτὴς, κλίμα, κλίσις. πλὴν τοῦ Α'ορίστου πρώτου. πᾶς γὰρ Α'όριστος πρῶτος τῆς Πέμπτης τῶν βαρυτόνων συζυγίας μακροπαραληκτεῖ, οἷον ἔκρινα, κρῖναι. ἔκλινα, κλῖναι.

δ. Τὰ δὲ τρίτα τούτων πληθυντικὰ πρόσωπα εἰς ι λήγοντα, ὁποῖον ἔχυσι τῦτο;

μ. Βραχὺ, οἷον τύπτυσι, ποιῦσι, βοῶσι, χρυσῦσι, τιθεῖσιν, ἱστᾶσι, διδῦσι, ζευγνῦσι.

δ. Τὰ δὲ εἰς ω καθαρὸν βαρύτονα ὑπερδισύλλαβα, τῷ ι παραλήγοντα, ὁποῖαν ἔχυσι τὴν παραλήγυσαν;

μ. Ἐπὶ μὲν τῦ Ἐνεςῶτος βραχεῖαν, οἷον κυλίω, κονίω, μηνίω· πλὴν τοῦ ἐθίω. Ἐπὶ δὲ τοῦ Μέλλοντος μακρὰν, οἷον κυλίσω, κονισω, μηνίσω. Διὸ δὴ εὖ λεγεται, ὅτι πᾶς Μέλλων βαρύτονος, ἢ τὴν ἴσην παραλήγυσαν ἔχει τῷ Ἐνεςῶτι, ἢ μείζω, ἐλάσσω δὲ ὐδέ ποτε.

δ. Τὰ δὲ τῷ ι παραλήγοντα περισπώμενα, ὁποίαν;

μ. Μακρὰν, οἷον ἐσιῶ, ἀνιῶ.

δ. Τὰ δε εἰς θι λήγοντα προςακτικὰ, τῷ ι παραλήγοντα, ὁποίαν;

μ. Βραχεῖαν, οἷον Ἴθι. ὄρνιθι.

δ. Τὰ

δ. Τὰ δὲ ἀπὸ τῆς πρώτης τῶν περισπωμένων συζυγίας παραγόμενα θηλυκὰ παροξύτονα, τῷ ι παραλήγοντα, ὁποίαν;

μ. Καὶ ταῦτα βραχεῖαν, οἷον εὐποιέω, ῶ, εὐποιΐα. εὐλογέω, ῶ, εὐλογία. θεωρέω, ῶ, θεωρία. Ὡσαύτως καὶ τὰ ἐκ τῶν βαρυτόνων ῥημάτων παραγόμενα, οἷον ἀγγέλλω, ἀγγελία. ἀγωνίζομαι, ἀγωνία. ἀγλαΐζω, ἀγλαΐα.

δ. Τὰ δὲ εἰς ινη ὑπερτρισύλλαβα, ὁποίαν;

μ. Μακρὰν, οἷον ἡρωΐνη, μολυβδίνη. πλὴν τοῦ εἰλαπίνη. καὶ τῶν ἐπὶ πόλεων.

δ. Αἱ δὲ διαλυόμεναι δίφθογγοι, ὁποῖον ἔχουσι τὸ ι;

μ. Βραχὺ, οἷον πάϊς, κόϊλον.

δ. Τὰ δὲ δίχρονα τῶν ἀδιαιρέτων καὶ ἀχωρίστων μορίων, οἷον αρι, ερι, βρι, ζα, δυς, ὁποῖα;

μ. Βραχέα, οἷον ἀρίδηλος, ἐρίβωλαξ, βριαρὸς, ζάθεος, δύσερις.

δ. Τὸ δὲ Τριὰς, καὶ τὸ ἴα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Βραχεῖαν.

δ. Τὰ δὲ εἰς ι λήγοντα οὐδέτερα ὀνόματα, ὁποῖον ἔχουσι τοῦτο;

μ. Βραχὺ, οἷον μέλι, πέπερι.

δ. Τὰ δὲ ὑποκοριστικὰ τῷ ι παραλήγοντα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀνθρωπάριον, παιδάριον, λογίδιον, θηρίον.

δ. Τὰ δὲ εἰς ιζω ῥήματα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Φύ-

τοῦ κειτὴς γάρ.

δ. Τὰ δὲ εἰς ας ἀρσενικὰ βαρύτονα, τῷ ι παραλήγοντα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀνανίας, κοχλίας.

δ. Τὰ δὲ εἰς ιμος παράγωγα ὑπερδισύλλαβα ἁπλᾶ, ὁποῖον;

μ. Βραχὺ, οἷον αὔθιμος, ἄλκιμος, κύδιμος, φρώϊμος, τὸ δὲ ἄτῖμος, βούλῖμος, ἴφθῖμος, μακρόν· σιώθετα γάρ.

δ. Τὰ δὲ εἰς ινος ὑπερδισύλλαβα ὀξύτονα, καιροῦτε καὶ ὥρας ὀνομαστικὰ, ὁποῖον;

μ. Βραχὺ, οἷον ἐαρινὸς, θερινὸς, ἡμερινὸς, νυκτερινός. Εὕρηται μέντοι καὶ ἐκτεινόμενα παρὰ Ποιηταῖς ταῦτα, ἀλλὰ κατὰ πάθος Ἐκτάσεως.

δ. Τὰ δὲ ἐκ τοῦ ἄγριος σιώθετα, ὁποῖον ἔχουσι τὸ ι;

μ. Βραχὺ, οἷον ἀγριόθυμος, ἀγριάμπελος. ὡσαύτως καὶ ἀγριότης.

δ. Τὰ δὲ ἐκ τοῦ αγχι σιώθετα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀγχίστροφος, ἀγχίθυρος.

δ. Τὰ δὲ ἀπὸ ῥημάτων διφθογγογράφων γινόμενα διὰ τοῦ ι, ὁποῖον;

μ. Βραχὺ, οἷον πείθω, πιθανός. λείχω, λιχανός.

δ. Τὸ δὲ ι πρὸ τοῦ τ ἀρκτικὸν ὂν, ὁποῖον;

μ. Βραχὺ, οἷον ἴτυς, ἰτέα.

δ. Τὰ δὲ εἰς ια θηλυκὰ παροξύτονα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Βραχεῖαν, οἷον ἀκαρπία, μαρία, ἐλευθερία.

δ. Τὰ

τὴν παραλήγουσαν;

μ. Βραχεῖαν, οἷον πηλεΐδης, αἰακίδης, πριαμίδης, δημοσθενίδης. καὶ τὰ ἐκ τούτων θηλυκὰ τὴν λήγουσαν ὁμοίως, οἷον πριαμίς.

δ. Τὰ δὲ εἰς κος κτητικὰ τῷ ι παραλήγοντα, ὁποῖον ἔχουσι τὸ ι;

μ. Βραχὺ, οἷον ῥητορικὸς, ῥητορικὴ, ῥητορικόν, μουσικὸς, μουσικὴ, μουσικόν.

δ. Τὰ δὲ εἰς ινος ἀρσενικὰ, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Μακράν. οἷον βαρῖνος, φαβωρῖνος, μαρῖνος, κωνσταντῖνος.

δ. Τὰ δὲ εἰς ος τριγενῆ ἐπίθετα, ὁποίαν;

μ. Βραχεῖαν, οἷον ἅγιος, ἁγία, ἅγιον. ὅσιος, ὁσία, ὅσιον.

δ. Τὰ δὲ εἰς λος, τῷ ι παραλήγοντα, ὁποῖον ἔχουσι τὸ ι;

μ. Βραχὺ, οἷον φίλος.

δ. Τὰ δὲ εἰς ων καθαρὸν συγκριτικὰ, τῷ ι παραλήγοντα, ὁποῖον;

μ. Μακρὸν, οἷον βελτίων.

δ. Τὰ δὲ μετουσιαστικὰ τῷ ι παραλήγοντα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀκάνθινος, λίθινος, πύρινος.

δ. Τὰ δὲ εἰς της βαρύτονα, μεσοσυλλαβοῦντος τοῦ ι, καὶ παραλήγοντος, ὁποῖον;

μ. Μακρὸν, οἷον τεχνίτης, θερσίτης. πλὴν τῶν ἀπὸ ὀξυτόνων συνθέτων, οἷον δικαιοκρίτης. ἐκ

διὰ τὸ μέτρον συςέλλουσι τὸ ι ; πλοκαμηίδος, ποταμηίδος, καὶ παγασηίδος λέγοντες.

δ. Τὰ δὲ εἰς ις βαρύτονα εἰς δος, καὶ τος, καὶ ιος ποιοῦντα τὴν Γενικὴν, ὁποῖον;

μ. Βραχὺ πανταχοῦ, οἷον κύπρϊς, κύπρϊδος. θέτϊς, θέτϊδος. θέμϊς, θέμιδος. νεᾶνϊς, νεάνϊδος. μῆνϊς, μηνϊδος. χάεϊς, χάεϊτος. ὄφϊς, ὄφιος. πόλϊς, πόλιος. κρᾶσις, κράσϊος. σκῆψις, σκήψϊος. πλὴν τοῦ ὄρνῖς, καὶ εἰκνήμῖς.

δ. Τὰ δὲ εἰς ις βαρύτονα προπαροξύτονα θηλυκὰ, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀνάληψϊς, μετάςασϊς.

δ. Τὰ δὲ εἰς ιν μονοσύλλαβα, ὁποῖον;

μ. Μακρὸν, οἷον θῖν, θινὸς, θῖνὶ, θῖνα.

δ. Τὰ δὲ εἰς ιψ, ὁποῖον;

μ Ἐν μὲν τῇ Ὀνομαστικῇ μακρὸν, ἐν δὲ ταῖς πλαγίαις βραχὺ, οἷον νῖψ, νϊβός. λῖψ, λϊβός.

δ. Τὰ δὲ ἀπὸ τοῦ τρίβω σύνθετα, ὁποῖον;

μ. Βραχὺ, οἷον οἰκότρϊψ, παιδότριψ, παιδοτρίβης.

δ. Ἡ δὲ Δοτικὴ ἑνικῆς καὶ πληθυντικὴ τῆς πέμπτης τῶν περιττοσυλλάβων, ὁποίαν ἔχουσι τὴν λήγουσαν;

μ. Βραχεῖαν, οἷον αἴαντι, αἴασι. καὶ τὸ πλεονάζον ῑ κατὰ σχηματισμὸν βραχύ ἐςιν, οἷον λόγοισϊ, μούσαισϊ.

δ. Τὰ δὲ εἰς ῑδης πατρωνυμικὰ, ὁποίαν ἔχουσι τὴν

δ. Τὰ δὲ εἰς ις μονοσύλλαβα ὀξύτονα, ὁποῖον;

μ. Μακρὸν, οἷον κὶς, κιός. λὶς, λιός. πλὴν τοῦ τίς, τινός.

δ. Τὰ δὲ εἰς ῖς ἀρσενικὰ καὶ θηλυκὰ δικατάληκτα ὀξύτονα, ὁποῖον;

μ. Μακρὸν πανταχοῦ, οἷον δελφὶν, δελφὶς, δελφῖνος. τελχὶν, τελχὶς, τελχῖνες. ἐλευσὶν, ἐλευσὶς, ἐλευσῖνος. σαλαμὶν, σαλαμὶς, σαλαμῖνος. ἀκτὶν, ἀκτὶς, ἀκτῖνος. ῥὶν, ῥὶς, ῥινός.

δ. Τὰ δὲ εἰς ῖς ὀξύτονα μὴ δικατάληκτα θηλυκὰ δισύλλαβα, φύσει μακρᾷ παραλήγοντα, μὴ κύρια ὄντα, μὴ δὲ ὑποκοριστικὰ, εἰς δος τὴν γενικὴν ποιοῦντα, ὁποῖον;

μ. Ἐπὶ μὲν τῆς Ὀνομαστικῆς εὐθείας βραχὺ, ἐπὶ δὲ τῶν πλαγίων καὶ τῆς πληθυντικῆς μακρὸν. ὅθεν καὶ περισπῶνται, οἷον κνημὶς, κνημῖδος, κνημῖδες. κηλὶς, κηλῖδος, κηλῖδες. κληὶς, κληῖδος, κληῖδες. κρηπὶς, κρηπῖδος, κρηπῖδες. Τὰ δὲ μὴ οὕτως ἔχοντα, βραχὺ πανταχοῦ τὸ ι ἔχουσιν· οἷον ἀψὶς, ἀψῖδος. ἀσπὶς, ἀσπίδος. δωρὶς, δωρίδος, ὑποκηφιστικόν.

δ. Τὰ δὲ ὑπερδισύλλαβα θηλυκὰ ὀξύτονα, ὁποῖον.

μ. Βραχὺ πανταχοῦ, οἷον ἀμαρυλλὶς, ἀμαρυλλίδος. ἐλλωὶς, ἐλλωίδος. στρατηγὶς, στρατηγίδος. αὐληξὶς, αὐληξίδος. πλὴν τοῦ πλοκαμὶς, πλοκαμῖδος, καί τινων ἄλλων, ἃ διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν βραχέων, ἐκτείνουσι τὸ ῖ. οἱ Ποιηταὶ δὲ τούτοις ἢ προστιθέντες

 διὰ

μ. Βραχὺ, οἷον ἄσταχυς, ἀντὶ τοῦ στάχυς. ἀσπαίρειν, ἀντὶ τοῦ σπαίρειν.

δ. Τὸ δὲ δασυνόμενον, ὁποῖον;

μ. Βραχὺ, οἷον ἅτινα.

δ. Τὸ δὲ κλητικὸν, ὁποῖον;

μ. Μακρὸν, οἷον ἆ δειλῶν μερόπων φρένες.

δ. Τὸ δὲ σχετλιαστικὸν, ὁποῖον;

μ. Μακρὸν, οἷον ἆ μέγα τολμίης, ἀντὶ τοῦ φεῦ.

δ. Τὸ δὲ ἐκπλήξεως καὶ παρακελεύσεως ψιλούμενον καὶ βαρυνόμενον, ὁποῖον;

μ. Βραχὺ, ὡς παρ' Ἀριστοφάνει, ἄ, ἄ, τὴν δᾶδα μή μοι πρόσφερε.

δ. Ὅσοι δὲ τῶν Συνδέσμων εἰς α, ἢ καί τι σύμφωνον τούτῳ συλλαβιζόμενον καταλήγουσιν, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀτὰρ, ἀλλὰ, ἕνεκα, γὰρ, εἶτα, δῆτα.

δ. Τὸ δὲ α πρὸ τοῦ β, ἢ μ, ὁποῖον;

μ. Βραχὺ. οἷον ἄβυδος, ἅμιλλα. πλὴν τοῦ ἀμυτός.

## Περὶ τοῦ ι.

δ. ΤΑ εἰς ιξ ἀρσενικὰ ὑπερμίαν συλλαβὴν φύσει

μ. ἢ θέσει μακρᾷ παραλήγοντα ὀνόματα, ὁποῖον ἔχουσι τὸ ι;

μ. Ἐν μὲν τῇ Ὀνομαστικῇ βραχὺ, ἐν δὲ ταῖς πλαγίαις φύσει μακρὸν, οἷον φοῖνιξ, φοίνῖκος. πέρδιξ, πέρδῖκος. πλὴν τῶν εἰς λιξ. ταῦτα γὰρ πανταχοῦ τὸ ι συνεσταλμένον ἔχουσιν, οἷον ἧλιξ, ἥλικος. ὁμῆλιξ, ὁμήλικος.

δ. Τὰ

πλὴν τὸ Εἰς. ἡ γὰρ Ἐξ οὐ φύσει, ἀλλὰ θέσει μακρά ἐστιν.

δ. Ὅσα τῶν Ἐπιρρημάτων εἰς α λήγουσιν, ὁποῖον ἔχουσι τὸ α;

μ. Βραχὺ, οἷον πηνίκα, τόφρα, μάλιστα.

δ. Ὅσα δὲ εἰς αν, ὁποῖον;

μ. Μακρὸν, οἷον λίαν, ἄγαν.

δ. Τὸ δὲ ἀεὶ, καὶ τὸ ἄκων, ὁποῖαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Μακρὰν, ὅτι ἐκ τοῦ αἰεὶ, καὶ ἀέκων.

δ. Τὸ δὲ στερητικὸν α, ὁποῖον;

μ. Βραχὺ, οἷον ἄκλητος, ἄλυσις.

δ. Τὸ δὲ ἐπιτατικὸν, ὁποῖον;

μ. Βραχὺ, οἷον ἄξυλος ὕλη, ἡ πολύξυλος. ἀχανὲς, ἄβυσσος.

δ. Τὸ δὲ σημαῖνον τὸ ὁμοῦ, ὁποῖον,

μ. Βραχὺ, οἷον ἀδελφὸς ἐκ τῆς δελφύος, σημαινούσης τὴν μήτραν, καὶ τὴν γαστέρα, τὴν ἀδελφὰ ποιοῦσαν τὰ τικτόμενα· ὅθεν εἴρηται ὁ ἀδελφὸς ὁμόδελφος, τουτέστιν ὁμομήτριος, καὶ ὁμογάστριος.

δ. Τὸ δὲ σημαῖνον τὸ κακὸν, ἢ τὸ ἴσον, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀφυὴς ὁ κακοφυὴς. καὶ ἀτάλαντος, ὁ ἰσοτάλαντος.

δ. Τὸ δὲ παραπληρωματικῶς πλεονάζον ἀττικῶς, ὁποῖον;

δ. Τὸ δὲ τραπὲν εἰς α ἐκ τῆς τοῦ Μέλλοντος παραλήγούσης, φυλαττομένου τοῦ ρ, ἢ τοῦ λ ἐν τῷ Παρακειμένῳ, ὁποῖόν ἐστι τὸ α;

μ. Βραχὺ, οἷον ἔσταλκα, ἔσταλμαι, ἐστάλθαι. κέκαρκα, κέκαρμαι, κεκάρθαι.

δ. Τὸ δὲ προστιθέμενον α ἰωνικῶς τοῖς τρίτοις προσώποις τῶν ῥημάτων, ὁποῖον;

μ. Βραχὺ, οἷον τετύφαται, πεφράδαται. ἐπεφράδατο, ἐτετύφατο. τιθέασι, διδόασι, ζευγνύασι. τὸ δὲ ἱστᾶσι κατὰ κρᾶσιν.

δ. Τὸ δὲ ἔφανα, ἐμίανα, ἔχλιαν, καὶ τὰ τούτοις ὅμοια, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Ἐκτεταμένην, ὅτι ἐκ τοῦ ἔφηνα, ἐμίηνα, καὶ ἔχλίηνα.

δ. Τὰ δὲ εἰς μι, ὁποίαν;

μ. Τὰ μὲν ἐνεργητικὰ μακρὰν, οἷον τίθημι, ἵστημι, δίδωμι, ζεύγνυμι. τὰ δὲ παθητικὰ βραχεῖαν, οἷον τίθεμαι, ἵσταμαι, δίδομαι, ζεύγνυμαι. εἰ μήπου ποιητικῇ ἀδείᾳ τοὐναντίον ἐν τοῖς παθητικοῖς γένοιτο, ὡς τίθημαι, ἀντὶ τοῦ τίθεμαι. ἀκάχημαι, ἀντὶ τοῦ ἀκάχεμαι. δίζημαι, ἀντὶ τοῦ δίζεμαι. καὶ ἄλλα ἰωνικά. οἱ δὲ Αἰολεῖς τίθαιμι, καὶ ἵσαιμι λέγουσι.

δ. Τὸ δὲ ἐκ διαιρέσεως γινόμενον α, ὁποῖον.

μ. Βραχὺ, οἷον ἦγον, ἔαγον. ἦγα, ἔαγα. εἴλω, ἐάλω.

δ. Αἱ δὲ Προθέσεις, ὁποίαν ἔχουσι τὴν λήγουσαν;

μ. Βραχεῖαν, πᾶσαι γὰρ αὗται βραχυκαταληκτοῦσι,

πλὴν

δ. Τὰ δὲ εἰς μα ῥηματικὰ, ὁποῖον

μ. Βραχὺ, οἷον βῆμα, ῥῆμα, ἄγαλμα.

δ. Τὰ δὲ εἰς ος δισύλλαβα, τῷ α παραλήγοντα, ὁποῖον ἔχουσι τὸ α,

μ. Βραχὺ, οἷον χάος, φάος. πλὴν τοῦ φᾶρος.

δ. Τὰ εἰς ανω ὑπερδισύλλαβα ῥήματα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν.

μ. Βραχεῖαν, οἷον λαμβάνω, μανθάνω, λανθάνω, αὐδάνω. πλὴν τοῦ ἱκάνω, καὶ κιχάνω.

δ. Τὰ δὲ εἰς αω, ὁποίαν;

μ. Εἰ μὲν πρὸ τοῦ α, ἢ φωνῆεν, ἢ τὸ ρ συλλαβιζόμενον ἔχουσι, μακρὰν· οἷον βοάω, ἐάω, περάω. εἰ δὲ μὴ, βραχεῖαν, οἷον ἐλάω, ἀγαπάω. καὶ τὰ ἐκ τούτων ῥηματικὰ ὀνόματα ὁμοίως. ὡς παρὰ τῷ Ποιητῇ· ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη. τὸ λα βραχύ.

δ. Τὰ δὲ εἰς θι λήγοντα Προστακτικὰ, καὶ τὰ εἰς ναι Ἀπαρέμφατα Ἀορίστου ὄντα, τὸ α παραλήγοντα, ὁποίαν;

μ. Μακρὰν, οἷον φᾶθι, φᾶναι, λωᾶναι. πλὴν τοῦ ἱστάναι, τῆς δευτέρας τῆς εἰς μι συζυγίας, Ἑστὼς γάρ. μακρὰν δὲ καὶ τὸ τεθνᾶναι.

δ. Ὁ δὲ Παρακείμενος τῷ κ συλλαβιζομένην ἔχων τὴν λήγουσαν, καὶ μακρᾷ παραλήγων, εἰ ἀποβάλλοι τὸ κ, ὁποίαν ἔχει τὴν παραλήγουσαν;

μ. Βραχεῖαν, οἷον ἕστηκα, ἕσταα. βέβηκα, βέβαα. δέδοικα, δέδια.

δ. Διατί;

μ. Ὅτι κανών ἐστιν ὁ λέγων, τὰ ἀπὸ τοῦ εὐω παραγόμενα θηλυκὰ ὀνόματα πάντα, τῇ ει παραλήγουσι διφθόγγῳ.

δ. Τὰ δὲ εἰς ια παροξύτονα, ὁποῖον;

μ. Μακρὸν, οἷον κωμῳδία, τραγῳδία, προσῳδία, κοιλία.

δ. Τὰ δὲ ἀπὸ τῶν εἰς ος καθαρὸν ἀρσενικῶν θηλυκὰ ἐπίθετα, ὁποῖον;

μ. Μακρὸν, οἷος ἅγιος, ἁγία. ὅσιος, ὁσία. ἀνδρεῖος, ἀνδρεία. θεῖος, θεία. ποῖος, ποία. πλὴν τοῦ δῖος, δῖα. ἴος, ἴα.

δ. Τὰ δὲ εἰς αλς λήγοντα θηλυκὰ, ὁποῖον;

μ. Βραχὺ, οἷον ἡ ἅλς.

δ. Τὰ δὲ εἰς αξ θηλυκὰ, ὁποῖον;

μ. Βραχὺ, ὅθεν καὶ προπερισπῶνται, οἷον ἡ αὖλαξ. ἡ πῖδαξ, ἡ κλῖμαξ, ἡ θεῖδαξ.

δ. Τὰ δὲ εἰς ας θηλυκὰ καὶ κοινὰ ὀξύτονα, ὁποῖον;

μ. Βραχὺ πανταχοῦ, οἷον μενὰς, δυὰς, τειὰς, παλλὰς, ὁ καὶ ἡ φυγάς.

δ. Τὰ δὲ σύνθετα ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Τινὰ μὲν τὴν τῶν ἁπλῶν, οἷον στάσις, κατάστασις. φράσις, παράφρασις. πᾶσα, ἅπασα. λαὸς, μενέλαος, νικόλαος. τινὰ δ' οὔ, οἷον παῦ, παύνειστοι Ἀχαιοί.

δ. Αἱ δὲ εἰς αος καὶ αων Γενικαὶ τῶν ὀνομάτων, ὁποῖον ἔχουσι τὸ α;

μ. Καὶ

ὁ γεωμέτρης, ὦ γεωμέτρα. ὁ πατριάρχης, ὦ πατριάρχα. Ὡσαύτως καὶ τῶν ἐχόντων π πρὸ τοῦ τύπου ποιητικῶν, οἷον ὁ κυνώπης, ὦ κυνῶπα.

δ. Ὁποῖόν ἐστι κατὰ χρόνον τὸ α τῶν κλητικῶν τούτων;

μ. Βραχύ.

δ. Ἐν δὲ τοῖς δυϊκοῖς, καὶ πληθυντικοῖς, ὁποῖον;

μ. Μακρὸν, οἷον τὼ δεσπότα, ὦ δεσπότα, τὰς δεσπότας. πᾶσα γὰρ Αἰτιατικὴ τῶν Ἰσοσυλλάβων, δυϊκή τε καὶ πληθυντικὴ μακροκατάληκτεῖ. ἡ δὲ ἑνικὴ τούτων ὁμόχρονος τῇ αὐτῇ εὐθείᾳ.

δ. Τὰ δὲ εἰς αψ δισύλλαβα ὀνόματα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἄραψ, σκίραψ.

δ. Διατὶ βραχὺ ἔφης εἶναι τὸ α πρὸ τοῦ ψ, θέσει μακρὸν ὄν; τὰ γὰρ διπλᾶ ζ, ξ, ψ, ἐκτείνουσι τὰ πρὸ αὐτῶν φωνήεντα.

μ. Ὅτι ὁ λόγος ἐνταῦθα οὐκ ἔστι περὶ τῶν θέσει, ἀλλὰ περὶ τῶν φύσει μακρῶν διχρόνων. ταῦτα μὲν γὰρ καὶ περισπῶνται πρὸ βραχέως κείμενα, τὰ δὲ θέσει οὔ.

δ. Τὰ δὲ κατὰ κρᾶσιν γινόμενα ὀνόματα, ὁποῖον ἔχουσι τὸ δίχρονον;

μ. Μακρὸν, οἷον εὐκλεᾶ, ἱρεύς. Καθόλου γὰρ πᾶν δίχρονον ἐκ κράσεως ὂν, ἐκτείνεται. τὸ δὲ δυσκλέα, καὶ νηλέα, οὐ κατὰ κρᾶσιν, ἀλλ' ἐξαιρέσει τοῦ ε.

δ. Τὰ εἰς ος καθαρὸν ἀρσενικὰ ὀξύτονα, διχρόνῳ παραλήγοντα, ὁποίαν ἔχουσι τὴν παραλήγουσαν;

μ. Μα-

ειττοσύλλαβα ὀνόματα, καὶ αἱ εἰς ας μετοχαὶ, ὁποῖον ἔχουσι κατὰ χρόνον τὸ α;

μ. Ἐκτεταμένον, μακρὸν δηλαδὴ, οἷον ὁ αἰνείας, ὁ αἴας, ὁ τύφας. πλὴν τοῦ μέγας ἐπιθέτου, καὶ τοῦ λάας προσηγορικοῦ.

δ. Ἐν ταῖς πλαγίαις δὲ αὐτῶν πτώσεσιν ἑνικαῖς, δυϊκαῖς τε, καὶ πληθυντικαῖς, ὅσαι εἰς α, ἢ εἰς ας λήγουσιν, ὁποῖον;

μ. Τὰ μὲν ἰσοσύλλαβα μακρὸν, τὰ δὲ περιττοσύλλαβα, καὶ αἱ μετοχαὶ βραχύ.

δ. Τὰ δὲ εἰς ας ἰσοσύλλαβά τε καὶ περιττοσύλλαβα περισπώμενα, ὁποῖον;

μ. Μακρὸν, οἷον ὁ Θωμᾶς, τοῦ Θωμᾶ. ὁ Κοσμᾶς, τοῦ Κοσμᾶ. ὁ βιττᾶς, τοῦ βιττᾶδος. ὁ κυρᾶς, τοῦ κυρᾶδος.

δ. Τὰ δὲ εἰς ας ὀξύτονα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἀρκὰς, ἐθάς. πλὴν τοῦ ἱμὰς, καὶ αἰδειάς.

δ. Αἱ δὲ Κλητικαὶ τῶν τῆς Πρώτης Κλίσεως τῶν Ἰσοσυλλάβων Ὀνομάτων, ληγόντων εἰς ης, ἐχόντων πρὸ τοῦ τύπου τ· καὶ αἱ τῶν Ἐθνικῶν, καὶ τῶν συνθέτων ἐκ τοῦ πωλῶ, τρίβω, μετρῶ, καὶ ἄρχω, εἰς τί λήγουσιν;

μ. Εἰς α. οἷον ὁ ποιητὴς, ὦ ποιητά. ὁ δεσπότης, ὦ δέσποτα. ὁ τοξότης, ὦ τοξότα, ὁ σκύθης, ὦ σκύθα. ὁ πέρσης, ὦ πέρσα. ὁ βιβλιοπώλης, ὦ βιβλιοπῶλα. ὁ παιδοτρίβης, ὦ παιδοτρίβα.

ὁ γεω-

ὀνόματα βραχυκαταληκτοῦσι, καὶ τῇ εἰ παραλήγουσι διφθόγγῳ, οἷον ὀξὺς, ὀξεῖα. βαρὺς, βαρεῖα. ἡδὺς, ἡδεῖα.

δ. Τὰ εἰς αν ἀρσενικὰ περιττοσύλλαβα ὀνόματα, εἰς ανος τὴν Γενικὴν ποιοῦντα, ὁποῖον ἔχουσι τὸ αν;

μ. Μακρὸν πανταχοῦ, οἷον παιὰν, παιᾶνος. τιτὰν, τιτᾶνος. πελακὰν, πελεκᾶνος. ὁ πὰν, τοῦ πανός.

δ. Τὰ εἰς αξ ἀρσενικὰ δισύλλαβα, φύσει μακρᾷ παραλήγοντα, ὁποῖον ἔχουσι τὸ α;

μ. Μακρὸν, οἷον θώραξ, φαίαξ, ὄραξ, πλύαξ. πλὴν τοῦ ἧλαξ, κύαξ, σύαξ. κακεῖνα μὲν παροξύνονται, ταῦτα δὲ προπερισπῶνται.

δ. Τὰ δὲ εἰς αξ ἀρσενικὰ δισύλλαβα, θέσει μακρᾷ παραλήγοντα, ὁποῖον;

μ. Βραχὺ, οἷον ἅρπαξ, κέκραξ. πλὴν τοῦ κόρδαξ.

δ. Τὰ δὲ εἰς αξ ἀρσενικὰ ὑπερδισύλλαβα βραχυπαράληκτα, ὁποῖον;

μ. Μακρὸν, οἷον ἱέραξ, οἰκοφύλαξ. πλὴν τῶν ἀπὸ ἁπλοῦ τὸ α συστέλλοντος συνθέτων, οἷον ἱππῶναξ, ἀρχίαναξ, καὶ τοῦ ἀσφάλαξ, συνεσταλμένον τὸ α ἔχοντος.

δ. Τὰ εἰς αρ ὀξύτονα ἀρσενικὰ μονοσύλλαβα, ὁποῖον ἔχουσι τὸ α;

μ. Μακρὸν, οἷον πὰρ, κὰρ, ψάρ.

δ. Τὰ δὲ εἰς αρ ὑπὲρ μίαν συλλαβὴν, ὁποῖον;

μ. Βραχὺ, οἷον μάκαρ, ὄναρ, καὶ σὰρ λατινικόν.

δ. Τὰ εἰς ας ἀρσενικὰ βαρύτονα ἰσοσύλλαβά τε καὶ πε-

ριτ-

καὶ τὴν Προσῳδίαν ὑπειλήφασι τῆς ποσότητος τῆς συλλαβῆς αἴτιον. Πᾶσα γὰρ προπαραλήγουσα ὀξυνομένη, βραχεῖαν ἔχει τὴν λήγουσαν, οἷον ἡ πότνια, ἡ τράπεζα, ἡ ἀσέλγεια, ἡ ἀλήθεια, ἡ θεράπαινα, τέτυφα, τὸ σίνηπι, ὁ καὶ ἡ φιλόπατρις, ὁ καὶ ἡ εὔχαρις, ὁ πέλεκις, ὁ καὶ ἡ νέηλυς. πλὴν τῶν ἀττικῶν, οἷον ὁ μενέλαως, τῆς πόλεως· καὶ τῆς αι, καὶ οἱ διφθόγγου· οἷον καυχήσονται ὅσιοι.

δ. Διατὶ τὸ φιλόπατρις προπαροξύνεται, τοῦ ἁπλοῦ ὀξυτόνου ὄντος, οἷον πατρίς;

μ. Ὅτι τὰ ἁπλᾶ ὀνόματα ὀξύτονα ὄντα, συντεθέντα λέξει ἑτέρᾳ, προπαροξύνονται, οἷον πατρὶς, φιλόπατρις. αὐλὸς, ἄγραυλος. τιμὴ, πολύτιμος.

δ. Διατὶ ἡ Τιμὴ συντεθεῖσα παρήλλαξε τὴν κλίσιν;

μ. Ὅτι τὰ τῆς Δευτέρας Κλίσεως τῶν Ἰσοσυλλάβων ἁπλᾶ ὀνόματα, ἐπειδὰν συντεθῶσι, κατὰ τὴν ἁπλῆν Τετάρτην κλίνονται Κλίσιν, καὶ κοινά εἰσι τῷ γένει, οἷον ἡ μοῦσα, ὁ καὶ ἡ φιλόμουσος. ἡ τιμὴ, ὁ καὶ ἡ φιλότιμος.

δ. Ὅτε τὰ ὀνόματα προπερισπῶνται, ὁποία ἐστὶ κατὰ χρόνον ἡ τούτων λήγουσα;

μ. Ἤτοι βραχεῖα, οἷον μοῦσα, μοῖρα, ὀξεῖα, βαρεῖα; ἡδεῖα, σῶμα, χρῆμα, τυφθεῖσα, διδοῦσα· ἢ μακρὰ θέσει, οἷον αὖλαξ. κῆρυξ.

δ. Διατὶ ἡ Ὀξεῖα βραχυκαταληκτεῖ.

μ. Ὅτι τὰ ἀπὸ τῶν εἰς ῦς ἀρσενικῶν θηλυκὰ ἐπίθετα

ὀνόμα-

# Τεχνολογία Χ'. τῶν τριῶν Διχρόνων φωνηέντων α, ι, υ.

## Περὶ τοῦ Α.

δ. Ὁποῖά εἰσι τὰ Δίχρονα κατὰ ποσότητα;

μ. Αὐτὰ μὲν καθ' ἑαυτὰ ἄποσά εἰσιν, ἐν δὲ τῇ συνθέσει τὴν ποσότητα ἔχουσι.

δ. Ποσαχῶς λαμβάνεται τὸ α κατὰ τὴν τοῦ χρόνου ποσότητα ἐν τῇ συνθέσει;

μ. Τριχῶς, ποτὲ μὲν βραχὺ, ποτὲ δὲ μακρὸν, ποτὲ δὲ ἀμφότερα. βραχὺ μὲν, οἷον ἅγιος. μακρὸν δὲ, οἷον νᾶμα· ἀμφότερα δὲ, οἷον ἄρης.

δ. Ἐκ πόσων ἐπιγινώσκεται ἡ τῆς συλλαβῆς γραφή τε καὶ ποσότης;

μ. Ἐκ τριῶν, ἐξ Ἐτυμολογίας, ἐκ Διαλέκτου, καὶ ἐξ Ἱστορίας. ἐξ Ἐτυμολογίας μὲν, ὡς ὅταν τὴν αἰτίαν ζητῶ, διατὶ φέρε εἰπεῖν τὸν Αἰνείαν, τὸ αἰν ἐστὶ μακρὸν; εἴπω, ὅτι παράγεται ἐκ τῆς αἰνείας ὀνομαστικῆς, μακρᾶς οὔσης· καὶ ὁ Λᾶος διατὶ μακρὸν τὸ α, ὅτι παράγεται ἐκ τοῦ λᾶς, μακροῦ ὄντος, ὃ σημαίνει τὸν λίθον. Ἐκ Διαλέκτου δὲ, ὡς ὅταν τὸ ὄφεως διὰ τοῦ ω γράφων, εἴπω, ὅτι οὕτως ἔδοξε τῇ Ἀθηναίων διαλέκτῳ. Ἐξ Ἱστορίας δὲ, ὡς ὅταν τὰ χίλια τὸ χι διὰ τοῦ ι βραχέος γράφων, εἴπω, ὅτι οὕτω βούλεται ἡ παράδοσις. Τινὲς δὲ

καὶ

μ. Μεταθέσεως.

δ. Τί ἐστι Μετάθεσις;

μ. Μετάθεσίς ἐστι στοιχείου μετακίνησις, ἐκ τῆς ἰδίας τάξεως ἐφ᾽ ἑτέρας, οἷον κραδία, ἀντὶ καρδία. καὶ κάρτος, ἀντὶ κράτος.

δ. Αἱμηπότης, ἔστι τι πάθος ἐν τῇ λέξει ταύτῃ;

μ. Ἔγωγε, Ποιότητος.

δ. Ποίου εἴδους τῆς Ποιότητος;

μ. Μεταλήψεως.

δ. Τί ἐστι Μετάληψις;

μ. Μετάληψίς ἐστιν ἑτέρου στοιχείου χρῆσις, ἀνθ᾽ ἑτέρου, οἷον αἱμηπότης, ἀντὶ αἱμοπότης. ὅκως, ἀντὶ ὅπως.

δ. Τὶ γίνεται ἐκ τῆς συνελεύσεως τῆς μεταθέσεως, καὶ μεταλήψεως;

μ. Τμῆσις.

δ. Τί ἐστι Τμῆσις;

μ. Τμῆσίς ἐστι συνθέτου λέξεως εἰς δύο ἁπλᾶς ἀνάλυσις, οἷον ἄκρα πόλις, ἀντὶ ἀκρόπολις. πέλοπος νῆσος, ἀντὶ Πελοπόννησος. ἄγριον ἔλαιον, ἀντὶ ἀγριέλαιον.

δ. Τὶ διαφέρει ἡ Τμῆσις τῆς Διαιρέσεως;

μ. Ὅτι ἡ μὲν Τμῆσις συνθέτους ἀναλύει, ἡ δὲ Διαίρεσις ἁπλᾶς διαιρεῖ λέξεις

δ. Ποσαχῶς δὲ τὸ ō;

Τεσσαρεσκαιδεκαχῶς,

Τὸ ō καὶ ᾱ, εἰς ᾱ κιρνᾶται, οἷον ἁπλόα; ᾱ.

Τὸ ō καὶ ᾱ, εἰς ω̄ κιρνᾶται, οἷον λητόα, ω̄.

Τὸ ō καὶ ε εἰς ου̅ κιρνᾶται, οἷον χρύσεος, ου̅.

Τὸ ō καὶ ει̅, εἰς οι̅ κιρνᾶται, οἷον χρυσόεις, οις̅.

Τὸ ō καὶ ει̅, εἰς ου̅ κιρνᾶται, οἷον χρυσόειν, ου̅ν.

Τὸ ō καὶ η̄, εἰς η̄ κιρνᾶται οἷον χρυσόητε, ητε̅.

Τὸ ō καὶ η̄, εἰς ω̄ κιρνᾶται, οἷον χρυσόητε, ωται̅.

Τὸ ō καὶ η̄, εἰ οι̅ κιρνᾶται, οἷον χρυσόῃ, οι̅.

Τὸ ō καὶ ι̅, εἰς οι̅ συναιρεῖται, οἷον λητόϊ, οι̅.

Τὰ δύο οο̅, εἰς ου̅ κιρνῶνται, οἷον λητόος, ους̅.

Τὰ δύο οο̅, εἰς οι̅ κιρνῶνται, οἷον νόοιν, οιν̅.

Τὸ ō καὶ ου̅, εἰς ου̅ κιρνᾶται, οἷον χρυσόουσι, ουσι̅.

Τὸ ō καὶ ω̄, εἰς ω̄ κιρνᾶται, οἷον χρυσόω, ω̄.

Τὸ ō καὶ ω̄, εἰς ω̄ κιρνᾶται, οἷον νόῳ, ῳ̄.

Τὸ η̄ καὶ ι̅, εἰς ῃ̄ συναιρεῖται, οἷον νηρηΐδες, ῃδες.

Τὸ ω̄ καὶ ι, εἰς ῳ̄ συναιρεῖται, οἷον πατρώϊος, ῴος.

δ. Ποσαχῶς δὲ τὸ υ̅;

μ. Διχῶς.

Τὸ υ̅ καὶ ᾱ, εἰς υ̅ κιρνᾶται, οἷον βότρυα, υ̅.

Τὸ υ̅ καὶ ε̄, εἰς υ̅ κιρνᾶται, οἷον βότρυες, υ̅ς.

δ. Κραδία, ἔχει τὶ πάθος ἡ λέξις αὕτη;

μ. Ἔγωγε.

δ. Ποσοῦ, ἢ Ποιοῦ;

μ. Ποιοῦ.

δ. Ποίου εἴδους τοῦ Ποιοῦ;

Τὸ ᾱ & ῑ, εἰς ᾳ συναιρεῖται, οἷον κέραϊ, ᾳ.
Τὸ ᾱ, ϗ ο, εἰς ω κιρνᾶται, οἷον βοάωμεν, ῶμεν.
Τὸ ᾱ ϗ οι, εἰς ῳ κιρνᾶται, οἷον βοάοιμι, ῳμοι.
Τὸ ᾱ & οῦ εἰς ω κιρνᾶται, οἷον βοάουσι, ῶσι.
Τὸ ᾱ ϗ ω, εἰς ω κιρνᾶται, οἷον βοάω, ῶ

δ. Ποσαχῶς δὲ τὸ ε;

μ. Τεσσαρεσκαιδεκαχῶς,

Τὸ ε ϗ ᾱ, εἰς ᾱ κιρνᾶται, οἷον ἠμέας, ᾶς.
Τὸ ε & ᾱ, εἰς η κιρνᾶται, οἷον δημοσθένεα, ῆ.
Τὸ ε & ᾱ, εἰς υ κιρνᾶται, οἷον ἡδέα, ιῶ.
Τὸ ε & α εἰς ει κιρνᾶται, οἷον δημοσθένεας, εῖς.
Τὰ δύο εε, εἰς ει κιρνῶνται, οἷον δημοσθένεες, εῖς.
Τὸ ε ϗ ει, εἰς ει κιρνᾶται, οἷον ποιέεις, εῖς.
Τὸ ε ϗ ι, εἰς ει συναιρεῖται, οἷον δημοσθένεϊ, εῖ.
Τὰ δύο εε εἰς η κιρνῶνται, οἷον τείχεε, ῆ.
Τὸ ε & η, εἰς η κιρνᾶται, οἷον ποιέητε; ῆτε.
Τὸ ε & ῃ, εἰς ῃ κιρνᾶται, οἷον ποιέῃ, ῇ.
Τὸ ε ϗ ο, εἰς ου κιρνᾶται, οἷον δημοσθένεος, οῦς.
Τὸ ε & οι, εἰς οι κιρνᾶται, οἷον δημοσθενέοιν, οῖν.
Τὸ ε ϗ ου, εἰς ου κιρνᾶται, οἷον ποιέουσι, οῦσι.
Τὸ ε ϗ ω, εἰς ω κιρνᾶται, οἷον ποιέωσι, ῶσι.

δ. Ποσαχῶς δὲ τὸ ι,

μ. Τετραχῶς,

Τὸ ῑ ϗ α, εἰς ῑ κιρνᾶται, οἷον ὄφιας, ῑς.
Τὸ ῑ & ε, εἰς ῆ κιρνᾶται, οἷον ὄφιε, ῆ.
Τὸ ῑ ϗ ε, εἰς ῑ κιρνᾶται, οἷον ὄφιες, ῑς.
Τὰ δύο ῑι, εἰς ῑ κιρνῶνται, οἷον ὄφιϊ, ῑ.

δ. Πα-

μ. Τὸ μοὶ ι τοῦ καὶ τέθλιπται, τὸ δὲ α καὶ ε τῆς ἐγὼ Ἀντωνυμίας ἐκράθη εἰς α μακρόν.

δ. Ἐμοῦποδωίει, πόσα πάθη ἔχει;

μ. Δύο, Θλῖψιν, καὶ Συναίρεσιν, οἷον ἐμοῦποδωίει, ἀντὶ ἐμοὶ ὑποδωίει, ἐκθλιβέντος τοῦ ι τῆς διφθόγγου, καὶ συναιρεθέντος τοῦ ο καὶ υ εἰς ου δίφθογγον.

δ. Ὠ'πόλος, πόσα πάθη ἔχει;

μ. Δύο, κρᾶσιν, καὶ συναίρεσιν, οἷον ὠπόλος, ἀντὶ ὁ αἰπόλος, κραθέντος τοῦ ο καὶ α εἰς ω, καὶ τοῦ ι συναιρεθέντος ὑπὸ τῷ ω.

δ. Ὠ'πόλοι, πόσα πάθη ἔχει;

μ. Τρία, θλῖψιν, κρᾶσιν, καὶ συναίρεσιν, οἷον ὡπόλοι, ἀντὶ οἱ αἰπόλοι, ἐκθλιβέντος τοῦ ι τῆς οι διφθόγγου, καὶ κραθέντος τοῦ ο καὶ α εἰς ω, καὶ συναιρεθέντος τοῦ ι τῆς αι διφθόγγου ὑπὸ τῷ ω.

δ. Ποσαχῶς τὸ α μετὰ τῶν ἄλλων φωνηέντων κιρνᾶται;

μ. Ἑνδεκαχῶς.

| | |
|---|---|
| Τὰ δύο α α, εἰς ἓν α κιρνᾶται, οἷον κέραα, | α. |
| Τὸ α καὶ ε, εἰς α κιρνᾶται, οἷον βόαε, | α. |
| Τὸ α καὶ ε, εἰς ου ἀττικῶς κιρνᾶται, οἷον τριακονταέτης, | οὕτης. |
| Τὸ α καὶ ει, εἰς ᾳ κιρνᾶται, οἷον βοάει, | ᾳ. |
| Τὸ α καὶ η, εἰς α κιρνᾶται, οἷον βοάητε, | ᾶτε. |
| Τὸ α καὶ ῃ, εἰς ᾳ κιρνᾶται, οἷον βοάῃ, | ᾳ. |

ραιόν. καὶ ἀμύξαι, ἀντὶ αἰμύξαι.

δ. Κάλιον δὲ ὁποῖον;

μ. Παρέλλειψις.

δ. Τί ἐστι Παρέλλειψις;

μ. Παρέλλειψίς ἐστιν, ὅταν ἕν τι τῶν διπλασιαζομένων συμφώνων παραλείπηται, οἷον κάλιον, ἀντὶ κάλλιον. καὶ θᾶτον, ἀντὶ θᾶττον.

δ. Ἀπόλλω δὲ, ὁποῖον;

μ. Ἀποκοπή.

δ. Τί ἐστιν Ἀποκοπή;

μ. Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος οἷον ἀπόλλω, ἀντὶ ἀπόλλωνα. καὶ δῶ, ἀντὶ δῶμα.

δ. Βασιλεῖ δὲ, ὁποῖον;

μ. Συναλοιφή.

δ. Ποίου τρόπου τῆς Συναλοιφῆς, ἁπλοῦ, ἢ συνθέτου;

μ. Ἁπλοῦ, συναιρέσεως.

δ. Τί ἐστι Συναίρεσις;

μ. Συναίρεσίς ἐστι δύο φωνηέντων φυλαττομένων συναλοιφὴ, οἷον βασιλέϊ, βασιλεῖ. καὶ δημοσθένεϊ, δημοσθένει.

δ. Κἀγὼ, πόσα πάθη ἔχει ἡ λέξις αὕτη;

μ. Δύο, Θλίψιν, καὶ Κρᾶσιν, οἷον κἀγὼ, ἀντὶ καὶ ἐγώ.

δ. Πῶς γέγονεν ἡ Θλίψις, καὶ Κρᾶσις τοῦ κἀγώ;

καὶ τροπαιοέχος, τροπαιοῦχος. τὸ γὰρ ο καὶ ε εἰς ου κιρνᾶται.

δ. Τί σημαίνει τὸ Ἔγωγε;

μ. Τὸ ναὶ, ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἔγωγε λέγουσιν, ἀντὶ τοῦ ναὶ, ἐρωτήσεως προηγουμένης.

Τετλαίη κόνεός περ ἐὼν, εἰς ὦπα ἰδέσθαι.

δ. Τετλαίη δὲ, ὁποῖον;

μ. Ἀναδίπλωσις.

δ. Τί ἐστιν Ἀναδίπλωσις;

μ. Ἀναδίπλωσίς ἐστιν ἡ τῶν πρώτων, ἢ δευτέρων συλλαβῶν διὰ τῶν αὐτῶν συμφώνων, ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά· οἷον τετλαίη, ἀντὶ τλαίη· κεκάμωσιν, ἀντὶ κάμωσιν.

δ. Ἐν ποίοις τοῦ λόγου μέρεσι γίνεται ἡ Ἀναδίπλωσις;

μ. Ἐν Ῥήμασιν, ἐν Μετοχαῖς, καὶ Ὀνόμασιν.

δ. Ἄσταχυς δὲ, ὁποῖον;

μ. Πρόσθεσις.

δ. Τί ἐστι Πρόσθεσις.

μ. Πρόσθεσίς ἐστι προσθήκη στοιχείου κατ' ἀρχὴν τῆς συλλαβῆς, οἷον ἄσταχυς, ἀντὶ στάχυς. καὶ θαμὰ, ἀντὶ ἅμα.

δ. Γεραὸν δὲ, ὁποῖον;

μ. Ἔλλειψις.

δ. Τί ἐστιν Ἔλλειψις;

μ. Ἔλλειψίς ἐστιν ἀποβολὴ φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβὴν, οἷον γεραὸν, ἀντὶ γεραιὸν.

οἷον θύγατρα, ἀντὶ θυγατέρα. καὶ κάμμορος, ἀντὶ κακόμορος.

Εἰ δέκε μὴ δώωσιν, ἐγὼ δέκεν αὐτὸς ἕλωμαι.

δ. Δώωσιν δὲ, ὁποῖον;

μ. Ἐπέκτασις.

δ. Τί ἐστιν Ἐπέκτασις;

μ. Ἐπέκτασίς ἐστι πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνου, ὅταν μὴ γενικὸν παρατήρημα κωλύσῃ· οἷον δώωσιν, ἀντὶ δῶσι. καὶ ἀδελφεὸς, ἀντὶ ἀδελφός.

Τρώων ἐκπέρσωσ' εὐναιόμενον πτολίεθρον.

δ. Πτολίεθρον δὲ ὁποῖον;

μ. Παρέμπτωσις.

δ. Τί ἐστι Παρέμπτωσις;

μ. Παρέμπτωσίς ἐστι προσθήκη συμφώνου κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβὴν, οἷον πτολίεθρον, ἀντὶ πολίεθρον. καὶ πτόλεμος, ἀντὶ πόλεμος.

Σκηπτοῦχος βασιλεὺς, ᾧτε Ζεὺς κῦδος ἔδωκεν.

δ. Σκηπτοῦχος δὲ, ὁποῖον;

μ. Ἔκθλιψις.

δ. Τί ἐστιν Ἔκθλιψις;

μ. Ἔκθλιψίς ἐστιν ἀποβολὴ ἑνὸς συμφώνου, ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς, οὐ ποιοῦντος συλλαβὴν, οἷον σκηπτοῦχος, ἀντὶ σκηπτροῦχος.

δ. Ἔχει καὶ ἄλλο τι πάθος ἡ λέξις αὕτη;

μ. Ἔγωγε, Κρᾶσιν, οἷον σκηπτοέχος, σκηπτοῦχος ὡς

καὶ

δ. Τί ἐςι Διπλασιασμός;

μ. Διπλασιασμός ἐςι τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον, οὐκ ἀποτελοῦντος συλλαβὴν, οἷον ἔδδεισεν, ἀντὶ ἔδεισε. καὶ ὅττι, ἀντὶ ὅτι.
Α᾽πόλλωνι ἄνακτι τὸν ἠΰκομος τέκε Λητώ.

δ. Ηὔκομος, πόσα πάθη ἔχει ἡ λέξις αὕτη;

μ. Δύο Διαίρεσιν, καὶ Ἔκτασιν. Διαίρεσιν μὲν, ἠΰκομος, ἀντὶ ἠὔκομος. Ἔκτασιν δὲ, ἠΰκομος, ἀντὶ εὔκομος.

δ. Τί ἐςι Διαίρεσις;

μ. Διαίρεσίς ἐςι συλλαβῆς ἀνάλυσις, ἢ διάςασις εἰς δύο, οἷον πάϊς, ἀντὶ παῖς. καὶ κόϊλον ἀντὶ κοῖλον.

Καὶ τότε δὴ θάρσησε, καὶ ηὔδα μάντις ἀμύμων.

δ. Ηὔδα, ὁποῖον πάθος ἐςί;

μ. Συναλοιφή.

δ. Ποίου τρόπου, ἁπλοῦ, ἢ συνθέτου;

μ. Α᾽πλοῦ, Κράσεως.

δ. Τί ἐςι Κράσις;

μ. Κράσις ἐςὶ δύο φωνηέντων ἀλλοιουμένων συναλοιφὴ, οἷον δημοσθένεα, η. ἢ τοῦ οος, οἷον δημοσθένεος, ους.

Οὐδ᾽ ἀπέλυσε θύγατρα, καὶ οὐκ ἀπεδέξατ᾽ ἄποινα.

δ. Θύγατρα δὲ, ὁποῖον;

μ. Συγκοπή.

δ. Τί ἐςι Συγκοπή;

μ. Συγκοπή ἐςιν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον.



οἷον

μ. Συςολή.

δ. Τί ἐςι Συςολή;

μ. Συςολή ἐςιν, ὅταν τὰ ἐκτεινόμενα δίχρονα συςαλῆ, ἢ τὰ μακρὰ εἰς τὰ βραχέα ἀντίςοιχα αὐτῶ μετατεθῆ, οἷον ὀλέκοντο, ἀντὶ ὠλέκοντο. καὶ ξερὸν, ἀντὶ ξηρόν.

Αἰδεῖσθαί θ' Ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.

δ. Ἔςι τὶ πάθος κἀνταῦθα;

μ. Ἔγωγε, Ἱερῆα.

δ. Ὁποῖον;

μ. Ἔκτασις.

δ. Τί ἐςιν Ἔκτασις;

μ. Ἔκτασίς ἐςιν ὅταν τὰ συςελλόμενα δίχρονα ἐκταθῆ, ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίςοιχα αὐτῶ μετατεθῆ, οἷον ἱερῆα, ἀντὶ ἱερέα. καὶ κώρη ἀντὶ κόρη.

δ. Ἔςι καὶ ἕτερον.

μ. Ἔγωγε, Δέχθαι.

δ. Ὁποῖον;

μ. Ἄρσις.

δ. Τί ἐςιν Ἄρσις;

μ. Ἄρσις ἐςὶν ἀποβολὴ κατ' ἀρχὴν τῆς ἀναδεδιπλωμένης συλλαβῆς, οἷον δέχθαι ἀντὶ δεδέχθαι. καὶ βλῆσθαι, ἀντὶ βεβλῆσθαι.

Ὡς ἔφατ' ἔδδεισε δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.

δ. Ἔδδεισεν, ὁποῖον πάθος ἐςί.

μ. Διπλασιασμός.

δ. Τί

δ. Ποσοῦ, ἢ Ποιȣ̃;

μ. Ποσȣ̃, Πλεονασμȣ̃.

δ. Ποίȣ εἴδȣς τȣ̃ Πλεονασμοῦ;

μ. Προχηματισμοῦ.

δ. Τί ἐςι Προχηματισμός;

μ. Προχηματισμός ἐςι προσθήκη συλλαβῆς κατὰ τὸ τέλος, οἷον κύνεσσιν, ἀντὶ κύνες. καὶ λόγοισιν, ἀντ λόγοις.

δ. Διατὶ ἡ Ὀνομαςικὴ γέγονε Δοτική.

μ. Ὅτι οἱ Ἴωνες λαμβάνοντες τὰς πληθυντικὰς Ὀνομαςικὰς τῆς Πέμπτης κλίσεως τῶν Περιττοσυλλάβων, καὶ προσθέντες [σι], χρῶνται αὐταῖς ἀντὶ δοτικῶν, οἷον αἴαντες, αἰάντεσι.

Νοῦσον ἀνὰ ςρατὸν ὦρσε κακλὼ, ὀλέκοντο δὲ λαοί.

δ. Ἔςιτὶ πάθος κἀν τῷ ςίχῳ τȣ́τῳ;

μ. Ἔγωγε, Νοῦσον.

δ. Ποσȣ̃, ἢ Ποιȣ̃;

μ. Ποσȣ̃, Πλεονασμȣ̃.

δ. Ποίȣ εἴδȣς τȣ̃ Πλεονασμȣ̃

μ. Παρενθέσεως.

δ. Τί ἐςι Παρένθεσις;

μ. Παρένθεσίς ἐςι προσθήκη φωνήεντος κατὰ μέσον, ὑποιοῦντος συλλαβὴν, οἷον νȣ̃σος, ἀντὶ νόσος καὶ ξεῖνος ἀντὶ ξένος.

δ. Ἔςι καὶ ἕτερον πάθος;

μ. Ἔγωγε, Ὀλέκοντο.

δ. Ὁποῖον;

μ. Τρεῖς, Θλίψις, Κρᾶσις, καὶ Συναίρεσις.

δ. Πόσοι δὲ Σύνθετοι;

μ. Τέσσαρες, Θλίψις, καὶ Κρᾶσις· Θλίψις, καὶ συναίρεσις· Κρᾶσις, καὶ Συναίρεσις· Θλίψις, καὶ Κρᾶσις, καὶ Συναίρεσις.

δ. Ποίου τρόπου τῆς Συναλοιφῆς, ἁπλοῦ, ἢ συνθέτου;

μ. Ἁπλοῦ, Θλίψεως.

δ. Τί ἐστι Θλίψις;

μ. Θλίψις, ἐστὶν ἀποβολὴ φωνήεντος κατὰ τὸ τέλος τῆς λέξεως, ἑπομένου ἑτέρου φωνήεντος· οἷον αὐτοὺς δ' ἐλώρια, ἀντὶ αὐτοὺς δὲ ἐλώρια. καὶ ἐπ' ἐμὲ, ἀντὶ ἐπὶ ἐμέ.

δ. Ἔστιν ἕτερον πάθος ἐνταῦθα;

μ. Ἔγωγε, Τεῦχε.

δ. Ποσοῦ, ἢ Ποιοῦ;

μ. Ποσοῦ.

δ. Ποίου γένους τοῦ Ποσοῦ;

μ. Ἐνδείας.

δ. Ποίου εἴδους τῆς Ἐνδείας;

μ. Ἀφαιρέσεως.

δ. Τί ἐστιν Ἀφαίρεσις;

μ. Ἀφαίρεσίς ἐστιν ἀποβολὴ στοιχείου κατ' ἀρχὴν λέξεως, οἷον τεῦχε, ἀντὶ ἔτευχε. καὶ κεῖνος, ἀντὶ ἐκεῖνος.

δ. Ἔστι καὶ ἄλλο πάθος;

μ. Ἔγωγε, Κύνεσσιν.

δ. Πο-

μ. Ἐννέα, Ἀφαίρεσις, Ἄρσις, Συστολή, Συγκοπή, Συναλοιφή, Ἔλλειψις, Παρέλλειψις, Ἔκθλιψις, καὶ Ἀποκοπή.

δ. Ποῖα τῶν εἰδῶν τούτων ἀλλήλοις ἀντίκειται;

μ. Ἡ Πρόσθεσις τῇ Ἀφαιρέσει. ἡ Ἀναδίπλωσις τῇ Ἄρσει. ἡ ἔκτασις τῇ Συστολῇ. ἡ Ἐπέκτασις τῇ Συγκοπῇ. ἡ Διαίρεσις τῇ Συναλοιφῇ. ἡ Παρένθεσις τῇ Ἐλλείψει. ὁ Διπλασιασμὸς τῇ Παρελλείψει. ἡ Παρέμπτωσις τῇ Ἐκθλίψει. καὶ ὁ Προσχηματισμὸς τῇ Ἀποκοπῇ.

Ἡρώων, αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν.

δ. Ἔστι τί πάθος λέξεως ἐν τῷ στίχῳ τούτῳ;

μ. Ἔγωγε, Αὐτοὺς δ' ἑλώρια.

δ. Ποσοῦ πάθος ἐστὶν, ἢ Ποιοῦ;

μ. Ποσοῦ.

δ. Ποίου γένους τοῦ Ποσοῦ;

μ. Ἐνδείας.

δ. Ποίου εἴδους τῆς Ἐνδείας;

μ. Συναλοιφῆς.

δ. Τί ἐστι Συναλοιφή;

μ. Συναλοιφή ἐστι δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις καταβολῇ τόνου.

δ. Πόσοι τρόποι τῆς Συναλοιφῆς;

μ. Ἑπτά.

δ. Εἰς πόσα διαιροῦνται;

λ. Εἰς δύο, εἰς Ἁπλοῦς, καὶ Συνθέτους.

δ. Πόσοι Ἁπλοῖ;

μ. Τρεῖς,

χων, καθάπερ τὰ τῶν περιόδων, εἰμὴ ὅτε καὶ τούτοις διάνοια σώζεται, οἷον Ἔνθ' ὁ γέρων κατέλεκτο, καὶ ἠῶ δῖαν ἔμιμνεν.

## Τεχνολογία Φ'. τῶν Παθῶν τῶν Λέξεων.

δ. Τί ἐστι Πάθος τῆς λέξεως;

μ. Πάθος τῆς λέξεώς ἐστιν ἀλλοίωσις αὐτῆς ἀπὸ κυρίας χρήσεως φωνῆς εἰς οὐ κυρίαν.

δ. Εἰς πόσα διαιροῦνται τὰ τῶν λέξεων Πάθη.

μ. Εἰς δύο, εἰς Ποσὸν, καὶ Ποιόν.

δ. Πόσα τὰ εἴδη τοῦ Ποιοῦ;

μ. Δύο, Μετάθεσις, καὶ Μετάληψις.

δ. Πόσα τὰ γένη τοῦ Ποσοῦ;

μ. Δύο, Πλεονασμὸς, καὶ Ἔνδεια.

δ. Τί ἐστι Πλεονασμός;

μ. Πλεονασμός ἐστι περισσότης χρόνων, ἢ χρόνου· στοιχείων, ἢ στοιχείου.

δ. Τί ἐστιν Ἔνδεια;

μ. Ἔνδειά ἐστι χρόνου, ἢ χρόνων· στοιχείου, ἢ στοιχείων ἐλάττωσις.

δ. Πόσα τὰ εἴδη τοῦ Πλεονασμοῦ;

μ. Ἐννέα, Πρόθεσις, Ἀναδίπλωσις, Ἔκτασις, Ἐπέκτασις, Διαίρεσις, Παρένθεσις, Διπλασιασμὸς, Παρέμπτωσις, καὶ Προσχηματισμός.

δ. Πόσα τὰ εἴδη τῆς Ἐνδείας;

μ. Ἐν-

βαίνουσιν, ἐν δὲ τῷ τέλει τελείαν, οἷον ἤτοι γράφει, ἢ ἀναγινώσκει· ἢ ψεύδεται, ἢ ἀληθεύει. Ὁμοίως καὶ ἐπὶ τῶν συναπτικῶν, οἷον εἰ Ἕλλην ἐστὶ, φιλομαθής ἐστιν· ἐπεὶ φιλομαθής ἐστι, σπουδαῖος καὶ ἐνάρετός ἐστιν· ἐφ' ὧν τὰ ἡγούμενα κῶλα ὑποστίζονται, τὰ δὲ ἑπόμενα τελείαν ἐν τέλει λαμβάνουσι. Τῶν δὲ λόγων ὅσοι μὲν πλείω τοῦ ἑνὸς οὐκ ἔχουσι κῶλα, τελείαν στιγμὴν προσδέχονται, οἷον οὐ καλῶς ἔδρασας, τοὺς εὖ ποιήσαντας ἀδικήσας. καὶ τὸ τοῦ Ποιητοῦ· Αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι. Ὅσοι δὲ δύο ἔχουσι κῶλα, ὑποστιγμὴν, καὶ τελείαν· οἷον πολλῶν μέντοιγε καὶ ἄλλων ἀγαθῶν ἕνεκεν θαυμάσας, ἔχω τὴν εὐφυῆ σου διάθεσιν, μάλιστα δὲ τῆς δὲ σου τῆς καλοκαγαθίας. Ὁμοίως καὶ ἐπὶ τῶν πλείω ἐχόντων κῶλα ἐφ' ἑξῆς πλείους ὑποστιγμὰς, καὶ ἐπὶ τέλους τελείαν.

δ. Διατὶ ἀνωτέρω μὲν ἔφης τῶν τε Ἡρωελεγείων καὶ Ἰαμβικῶν στίχων ἕκαστον δύο κῶλα ἐξ ἀνάγκης ἔχειν, ἐνταῦθα δὲ στίχον, οὐ πλείω τοῦ ἑνὸς κῶλα ἔχοντα, παρεδειγμάτισας;

μ. Ὅτι ἐκεῖ μὲν ὁ λόγος ἦν περὶ τῶν ἐν Στίχοις, ἐνταῦθα δὲ περὶ τῶν ἐν Περιόδοις· καὶ γὰρ τὰ κῶλα διττά εἰσι, τὰ μὲν τῶν στίχων μέρη, εἰς ἀπαρτισμὸν εὐρύθμου ἁρμονίας ἐπινοηθέντα τοῦ μέλους, τὰ δὲ τῶν περιόδων μέρη, εἰς ἀπαρτισμὸν διανοίας. Διὰ τοῦτο καὶ οὐχ ὑποστίζονται τὰ κῶλα τῶν στί-

χων,

ἀνδρῶν οἰμωγαὶ. γυναικῶν ὀλολυγαὶ. παίδων ὀλοφυρμοί. Καὶ κατωτέρω. ἔστω. δυνάσθω. κεχρήσθω. τῇ φύσει. τῷ καιρῷ. ἀποκτεινύτω.

δ. Τὸ δὲ σχετλιαστικὸν εἰς τίνα λήγει;

μ. Εἰς τελείαν, οἷον φεῦ τῶν κακῶν. οἴμοι τῷ ταλαιπόρῳ. οἷός μοι φίλος ὄλωλεν.

δ. Εἰς τίνα δὲ ἡ ἐπανάληψις;

μ. Εἰς τελείαν, οἷον οἶδα οἶδα τὸν νοῦν κακὸν τὸ ἁμάρτημα κακόν. ἐγὼ ἐγὼ ταῦτα δέδρασα, καὶ οὐκ ἄλλος. καὶ Εὐριπίδης, Δειμαίνω δειμαίνω μᾶτερ. ὦ τέκνον μαλέας ματρός. μάνυσόν μοι μάνυσόν μοι μᾶτερ. καὶ Συνέσιος· Μέλει γάρ σοι μέλει ἡ Πενταπόλεως.

δ. Τίνα δὲ εἴδη τῶν συνδέσμων;

μ. Καὶ ταῦτα ἰδιαζούσας ἔχουσι τὰς συντάξεις. πᾶς γὰρ λόγος, ἢ φύσει εἷς ἐστιν, ἢ συνδέσμῳ εἷς.

δ. Ποῖός ἐστιν ὁ φύσει εἷς;

μ. Ὁ ἔχων ὄνομα καὶ ῥῆμα ἕν, οἷον ὁ ἐν Ἱερομονάχοις Διονύσιος φιλοπονεῖ.

δ. Ποῖος δὲ ὁ συνδέσμῳ εἷς;

μ. Ὁ ἔχων ὀνόματα καὶ ῥήματα πλείω συνδέσμῳ ἡνωμένα· οἷον ὁ Ἰωάννης καὶ ὁ Νικόλαος προσέχει καὶ μανθάνει. διὰ γὰρ τὴν δύναμιν τοῦ συνδέσμου ἐνταῦθα ὁ λόγος εἷς ἐστιν. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων συνδέσμων. καὶ γὰρ οἱ διαζευκτικοὶ κἂν ἔχωσι ῥήματα τέλεια, ἤγουν Ὁριστικὸν, Προστακτικὸν, καὶ Εὐκτικὸν, ὑποστιγμὴν κατὰ μέσον λαμβάνει-

μ. Ο῞τε τὸ παραβαλλόμενον πρᾶγμα μεῖζον δείκνυται τῆς παραβολῆς, οἷον οὐχ οὕτως ὕπνος ἐκλύει τὰ μέλη, ὡς ὁ οἶνος αὐτὰ παρίησι. καὶ οὐχ οὕτω θάλασσα, ἢ πῦρ, ἢ ἄνεμος ἠχεῖ, ὡς ὁ νῦν μέγας πόλεμος.

δ. Τὸ δὲ ἐρωτηματικὸν, τίνα στιγμὴν προσδέχεται;

μ. Τελείαν, καὶ ὑποστιγμὴν, οἷον ἦλθεν ὁ ἄνθρωπος;

δ. Τὸ δὲ πύσμα τικὸν τίνα;

μ. Καὶ αὐτὸ τελείαν καὶ ὑποστιγμὴν, οἷον πόθεν πάρει; ποῦ βαδίζεις;

δ. Τί διαφέρει τὸ ἐρωτηματικὸν τοῦ πυσματικοῦ;

μ. Ο῞τι τὸ μὲν ἐρωτηματικὸν ἀποκρίσεως τοῦ ναὶ, ἢ τοῦ οὒ, χρήζει μόνον· ἢ ἀνανεύσεως, ἢ κατανεύσεως, συμβολικῶν οὐσῶν ἀποκρίσεων. οἷον Τεχνολογοῦμεν σήμερον μετὰ τὸ ἄριστον; Ε῎ρχονται οἱ μαθηταὶ αὔριον; καὶ ἀποκρινόμεθα ναὶ, ἢ οὒ· ἀπὸ κοινοῦ νοουμένου τοῦ ῥήματος, δι᾽ οὗ γέγονε τὸ ἐρώτημα· ἢ καὶ διὰ τοῦ αὐτοῦ τῆς ἐρωτήσεως ῥήματος. Τὸ δὲ πυσματικὸν λέξεως δεῖται ἄλλης πρὸς τὴν ἀπόκρισιν, ἢ καὶ πλείονος λόγου ἐνίοτε. οἷον Ποῦ ἐγεννήθη ὁ Χριστός; καὶ ἀποκρινόμεθα, Ε᾽ν Βηθλεὲμ τῆς Ι᾽ουδαίας. ἐν τούτῳ γὰρ τὸ ναὶ, καὶ τὸ οὒ, χώραν οὐκ ἔχει. καὶ τί ἐστιν ὄνομα; οὐκ ἀποκρινόμεθα, ναὶ, ἢ οὒ, ἀλλ᾽ ὄνομά ἐστι μέρος λόγου κλιτόν.

δ. Τίνα δὲ τὸ ἀσύνδετον δέχεται;

μ. Στιγμὴν τελείαν, ὡς ὁ Συνέσιος κατὰ Α᾽νδρονίκου·

αὐ-

Πνᾶ παραγένηται, σοφὸς ἡμᾶς ἀπεργάσεται. Τοῦ Παναγίου Πνεύματος παραγενομένου, τὰ πάντα χαρᾶς ἐπλήσθησαν. Τὸ προσέχειν ἐπιμελῶς τῇ παιδείᾳ, Ἕλληνός ἐστιν ἀνδρὸς μεγαλόφρονος. τὸ δὲ μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς, ἀντὶ Προστακτικῶν λαμβάνονται κατὰ ἀντέγκλισιν, διὰ τὸ μὴ συντάσσεσθαι τὸ ἀπαγορευτικὸν Μὴ τοῖς δευτέροις προσώποις τῶν προστακτικῶν Ἀορίστων.

δ. Πότε ταῦθ' οὕτως ἔχει, ὡς εἴρηκας.

μ. Ὅταν μήτις ἕτερος λόγος κωλύσῃ. αἱ γάρτοι συνδεσμικαὶ συντάξεις, καὶ ἰδέαι τῶν λόγων, ἴδιον τύπον διαφυλάττουσιν, ὡς ἡ παραβολὴ, ἐπὶ μὲν τοῦ τέλους ἔχει ὑποστιγμὴν, τὸ δὲ παραβαλλόμενον, εἴτουν ἀνταποδοτικὸν μόριον, στιγμὴν τελείαν· οἷον Ὃν τρόπον ἐπιποθεῖ ἡ Ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. Οἷα δρῶμεν ἐν τῷ βίῳ, τοῖα καὶ παραπολαύσομεν.

δ. Πότε ἡ παραβολὴ καταβατικῶς σχηματίζεται;

μ. Ὅτε ὁμοιότης ἐστὶ τοῦ παραβαλλομένου πράγματος μετὰ τῆς παραβολῆς, ὡς ἔχει τὰ ῥηθέντα προσεχῶς δύο παραδείγματα. καὶ πάλιν. Ὥσπερ σὺ θυμωθεὶς πῦρ δέδορκεν, οὕτως ἀπαραλλάκτως καὶ ὁ δεῖνα ὅτε θυμοῦται.

δ. Πότε δὲ ἀποφατικῶς ἡ παραβολὴ σχηματίζεται.

μ. Ὅτε

δ. Τί ἐστι τελεία Στιγμή.

μ. Τελεία Στιγμή ἐστι διανοίας τελείας σημεῖον;

δ. Τί ἐστι μέση;

μ. Μέση ἐστὶ σημεῖον διανοίας μεσαζούσης καὶ ἀτελοῦς.

δ. Τί ἐστιν ὑποστιγμή;

μ. Ὑποστιγμή ἐστι σημεῖον διανοίας κρεμαμένης, καὶ ζητούσης τὸ ἐπίλοιπον.

δ. Ἐν ποίοις τοῦ λόγου μέρεσιν αὗται τίθενται;

μ. Ἐν Ῥήμασι μάλιστα καὶ Μετοχαῖς· ὧν τὰ μὲν, τέλεια· τὰ δὲ, ἀτελῆ.

δ. Πόσα τέλεια;

μ. Τρία, τὸ Ὁριστικὸν, τὸ Προστακτικὸν, καὶ τὸ Εὐκτικόν.

δ. Πόσα δὲ ἀτελῆ;

μ. Τρία, τὸ Ὑποτακτικὸν, τὸ Ἀπαρέμφατον, καὶ ἡ Μετοχή.

δ. Διατί τὸ Ὁριστικὸν, τὸ Προστακτικὸν, καὶ τὸ Εὐκτικὸν λέγονται τέλεια μέρη λόγου;

μ. Ὅτι διάνοιαν τελείαν δηλοῦσι, ὅθεν καὶ τελείαν στιγμὴν δέχονται. οἷον, Τὸ πανάγιον Πνεῦμα ἐπὶ τοὺς Ἀποστόλους παρεγένετο. Παραγενέσθω δὴ Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς. Καὶ εἴθε παραγένοιτο.

δ. Διατὶ τὸ Ὑποτακτικὸν, τὸ Ἀπαρέμφατον, καὶ ἡ Μετοχὴ λέγονται ἀτελῆ μέρη λόγου;

μ. Ὅτι διάνοιαν οὐ δηλοῦσι τελείαν. δέονται γάρ τινος τῶν τελείων εἰς ἀπαρτισμὸν διανοίας, διὸ καὶ ὑποστιγμὴν δέχονται· οἷον ἐὰν τὸ Πανάγιον

μ. Ὑποδιαςολὴ ἐςὶ σημεῖον διαιροῦν εἰς δύο λέξεις μίαν σύνθετον δι' ἑνὸς τόνου, οἷον ὅ,τι. σπάνια δὲ τὰ τελευταῖα δύο Πάθη.

δ. Ποῦ χρώμεθα τῇ Ἀποςρόφῳ;

μ. Ἐν τοῖς πάθεσι τῶν λέξεων, ἐν τέλει αὐτῶν ἑπομένου φωνήεντος κατ' ἀρχὴν ἑτέρας λέξεως.

δ. Πόσα τῶν φωνηέντων ἀποςρέφονται.

μ. Τέσαρα, τὸ α βραχὺ ὄν, οἷον ἀρ' ὅτος, αὐτὶ ἄρα ὅυτος. τὸ ε, οἷον φέρ' εἰπεῖν, αὐτὶ φέρε εἰπεῖν. τὸ ο, οἷον ὑπ' ἐμοῦ, αὐτὶ ὑπὸ ἐμοῦ. τὸ ι, βραχὺ ὄν, οἷον ἐπ' ἀκταῖς, αὐτὶ ἐπὶ ἀκταῖς. Οἱ Ποιηταὶ δὲ καὶ τὴν αι καὶ οι δίφθογγον ἀποςρέφουσιν, οἷον βούλομ' ἐγὼ, αὐτὶ βούλομαι ἐγὼ. καὶ οἴμ' ὡς ἄχθομαι, αὐτὶ οἴμοι ὡς ἄχθομαι.

δ. Τῇ δὲ Ὑπὲρ ποῦ χρώμεθα;

μ. Ἐν συναφείᾳ δυεῖν λέξεων, φύσει διῃρημένων, καὶ ἐν τοῖς συνθέτοις ὀνόμασιν, οἷον ὑπαρχήν, τὸ πρῶτον, φιλόσοφος, φιλόδωρα,

δ. Ποῦ δὲ τῇ Ὑποδιαςολῇ;

μ. Ἐν ταῖς διαςολαῖς τῶν συνημμένων λέξεων, οἷον ὅ,τι. τό, τε. ὅ, τε.

## Τεχνολογία Γ. τῶν Στιγμῶν.

δ. Εἰς πόσα διαιρεῖται ἡ Στιγμή;

μ. Εἰς τρία, εἰς τελείαν, μέσην, καὶ ὑποςιγμήν.

δ. Τί

μ. Ψιλήν.

δ. Διατὶ Ψιλλῶ;

μ. Ὅτι ἡ ευ δίφθογγος ψιλοῦται πλὼ τῶ ἕυω, ἕυρω, εὑρίσκω.

δ. Ἔτεκες, τὶ πνεῦμα ἔχει;

μ. Ψιλήν.

δ. Διατὶ Ψιλήν;

μ. Ὅτι τὸ ε συλλαβικὴ αὔξησις τῶ ῥήματος ὂν, ψιλοῦται.

## Τεχνολογία Γ΄. τῶν Παθῶν τῆς Προσῳδίας.

δ. ΤΙ' ἐςι Πάθος τῆς Προσῳδίας;

μ. Πάθος τῆς Προσῳδίας ἐςὶ σημεῖον ἀλλοιώσεως μεταξὺ δύο λέξεων.

δ. Εἰς πόσα διαιρεῖται τὸ Πάθος τῆς Προσῳδίας;

μ. Εἰς τρία, εἰς ἀπόςροφον, ὑφὲν, καὶ ὑποδιαςολήν.

δ. Τί ἐςιν Ἀπόςροφος;

μ. Ἀπόςροφός ἐςι σημεῖον ἀφαιρέσεως φωνήεντος, οἷον ἀλλ' ἐγώ.

δ. Τί ἐςιν Ὑφέν;

μ. Ὑφέν ἐςι σημεῖον συνάπτων ἀναλλοιώτως δύο λέξεις εἰς μίαν σύνθετον, δι' ἑνὸς τόνου, οἷον Κωνςαντινόπολις.

δ. Τί ἐςιν Ὑποδιαςολή;

δ. Διατὶ Ψιλῶ;
μ. Ὅτι τὸ ε πρὸ τοῦ ν ψιλοῦται.
δ. Οὐρανοῖς, τὶ πνεῦμα ἔχει;
μ. Ψιλῶ.
δ. Διατὶ Ψιλῶ;
μ. Ὅτι ἡ ου Δίφθογγος ψιλοῦται. πλὴν τῶ οὕνεκα, ὅτινος, ὅπως Ἐπίῤῥημα. & οὗτος Ἀντωνυμία.
δ. Ὡς, τὶ πνεῦμα ἔχει;
μ. Δασεῖαν.
δ. Διατὶ Δασεῖαν;
μ. Ὅτι τὰ Ὁμοιώσεως Ἐπιῤῥήματα ἀπὸ φωνήεντος ἀρχόμενα, δασύνονται.
δ. Ἄρτον, τὶ πνεῦμα ἔχει;
μ. Ψιλῶ.
δ. Διατὶ Ψιλῶ;
μ. Ὅτι τὸ α πρὸ τοῦ ρ ψιλοῦται· εἰμὴ τὸ μ, ἢ τὸ π ἐπάγοιτο, οἷον ἅρμα. ἁρπάζω.
δ. Ὀφειλήματα, τὶ πνεῦμα ἔχει;
μ. Ψιλήν.
δ. Διατὶ Ψιλήν;
μ. Ὅτι τὰ ο πρὸ τοῦ φ, χ, ψ, ψιλοῦται.
δ. Ἀλλὰ, τὶ πνεῦμα ἔχει;
μ. Ψιλήν.
δ. Διατὶ Ψιλήν;
μ. Ὅτι πᾶς Σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος ψιλοῦται, πλὴν τῶν Αἰτιολογικῶν.
δ. Εὐλογημένη, τὶ πνεῦμα ἔχει.

μ. ψι-

δ. Ἱλάθητι, τί πνεῦμα ἔχει;
μ. Δασεῖαν.
δ. Διατὶ Δασεῖαν;
μ. Ὅτι ἐστὶν ἐξηρημένον. τὸ γὰρ ι πρὸ τοῦ λ ψιλοῦται, πλὴν τοῦ ἱλάσκομαι, καὶ τῶν ἐξ αὐτοῦ.
δ. Ἁμαρτίας, τί πνεῦμα ἔχει;
μ. Δασεῖαν.
δ. Διατὶ δασεῖαν.
μ. Ὅτι ἐστὶν ἐκ τῶν ἐξηρημένων. τὸ γὰρ α πρὸ τοῦ μ ψιλοῦται. πλὴν τοῦ ἅμα, ἁμαρτάνω, ἅμιλλα, ἅμμα, ἅμης, ἁμίς.
δ. Ἐπίσκεψαι, τί πνεῦμα ἔχει;
μ. Ψιλήν.
δ. Διατὶ Ψιλήν.
μ. Ὅτι πᾶσα Πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη, ψιλοῦται· πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ.
δ. Ἴασαι, τί πνεῦμα ἔχει;
μ. Ψιλήν.
δ. Διατὶ ψιλήν.
μ. Ὅτι τὸ ι πρὸ τοῦ α, β, γ, ψιλοῦται.
δ. Ἕνεκεν, τί πνεῦμα ἔχει;
μ. Δασεῖαν.
δ. Διατὶ Δασεῖαν;
μ. Ὅτι πάντες οἱ Αἰτιολογικοὶ Σύνδεσμοι ἀπὸ φωνήεντος ἀρχόμενοι δασύνονται, πλὴν τοῦ ὄφρα.
δ. Ὀνόματος, τί πνεῦμα ἔχει;
μ. Ψιλήν.

δ. Διατὶ ὁ μὲν Βοῤῥᾶς διὰ δύο ρρ, ὁ δὲ Βορέας δι' ἑνὸς ρ ἐκφέρεται;

μ. Ὅτι πλεονάσαντος τοῦ ε, τὸ ἓν ρ ἀποβέβληται, ὡς καὶ τὸ στεῤῥὸς, στερεός.

δ. Ὁ, τί πνεῦμα ἔχει;

μ. Δασεῖαν.

δ. Διατὶ δασεῖαν;

μ. Ὅτι πᾶν Ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται.

δ. Ἰσχυρὸς, τὶ πνεῦμα ἔχει;

μ. Ψιλήν.

δ. Διατὶ ψιλήν;

μ. Ὅτι τὸ ι πρὸ τοῦ σ ψιλοῦται, πλὴν τοῦ ἵστημι.

δ. Ἀθάνατος, τὶ πνεῦμα ἔχει;

μ. ψιλήν.

δ. Διατὶ ψιλήν.

μ. Ὅτι τὸ στερητικὸν α ψιλοῦται.

δ. Ἐλέησον, τὶ πνεῦμα ἔχει;

μ. Ψιλήν.

δ. Διατὶ ψιλήν;

μ. Ὅτι τὸ ε πρὸ τοῦ λ ψιλοῦται. πλὴν τοῦ ἕλκω, ἕλλην, ἕλη, ἑλλήσποντος, ἕλενος, ἑλένη, ἕλος, ἕλω, ἑλίσσω, ἑλικὼν, ἕλμινες.

δ. Ἡμᾶς, τὶ πνεῦμα ἔχει;

μ. Δασεῖαν.

δ. Διατὶ δασεῖαν;

μ. Ὅτι πᾶσα Ἀντωνυμία ἀπὸ τοῦ η ἀρχομένη, δασύνεται

δ. Ἰλάσ-

(ἅτε δὴ ἓν ἕκαστον αὐτῶν ἀφ' ἑαυτοῦ ἀποτελοῦν φωνὴν, ἤγουν συλλαβὴν καταχρηστικῶς, καὶ οὐ κυρίως)· ἐκεῖνα δὲ, Σύμφωνα, οἷάπερ σὺν τούτοις φωνούμενα.

δ. Τὸ δὲ ρ διατὶ ἐπιδέχεται πνεῦμα;

μ. Εἰς σημεῖον τῆς ἀναδιπλώσεως τοῦ ἑτέρου ρ.

δ. Πότε ἀναδιπλασιάζεται τὸ ρ;

μ. Ὅτε εἰς φωνῆεν ἡ προηγουμένη λέξις λήγει, καὶ συντίθεται μετὰ τῆς ἀπὸ τοῦ ρ ἀρχομένης λέξεως, οἷον ἐπίῤῥημα, καταῤῥοή. πλὴν τῶν ἀπὸ τῆς ευ ἀρχομένων διφθόγγου, οἷον εὔροια, εὔρυθμος.

δ. Διατὶ ἐν ταῖς ἀρχομέναις ἀπὸ τῆς ευ διφθόγγου λέξεσιν οὐκ ἀναδιπλασιάζεται τὸ ρ;

μ. Ὅτι ἡ ευ δίφθογγος, ὥσπερ καὶ ἡ αυ, οὐκ εἰσὶν ἁπλαῖ φωναὶ, καθάπερ αἱ ἄλλαι δίφθογγοι. δοκοῦσι γὰρ αἱ δύο αὗται, ὁ τὲ μὲν εἰς τὸ φ, ἑπομένου αὐταῖς τοῦ θ, ἢ τινῶν ἄλλων στοιχείων· ἅπερ ἡ ἀκοὴ ἑνὸς ἑκάστου κρινέτω, οἷον εὐθύ. ὁ τὲ δὲ εἰς τὸ β, ἑπομένου τοῦ ρ, ἢ καὶ ἄλλων τινῶν, οἷον εὔρυθμος, λήγειν ἐν τῷ προφέρεσθαι. διὸ καὶ τὸ ρ εἰκότως ἐν τῇ ευ διφθόγγῳ οὐκ ἀναδιπλασιάζεται, διὰ τὸ μὴ λήγειν κατὰ τὴν φωνὴν εἰς καθαρὸν φωνῆεν.

δ. Ποσαχῶς τὸ ρ ἀναδιπλασιάζεται;

μ. Τριχῶς, φυσικῶς, οἷον θάῤῥος, πυῤῥός. ἀπὸ αὐξήσεως, οἷον ἔῤῥιψα. καὶ ἀπὸ συνθέσεως, οἷον ἐπίῤῥημα.

μ. Ὅτι πᾶσα λέξις ἀπὸ φωνήεντος ἀρχομένη, ἐν πνεῦμα ἐπιδέχεται.

δ. Τί πνεῦμα ἔχει;

μ. Δασεῖαν.

δ. Διατὶ Δασεῖαν;

μ. Ὅτι ἐστὶν ἐκ τῶν ἐξῃρημένων. τὸ γὰρ α πρὸ τοῦ γ ψιλοῦται. πλὴν τοῦ ἁγνὸς, καὶ ἅγιος.

δ. Αἱ δὲ ἀπὸ συμφώνου ἀρχόμεναι λέξεις ἐπιδέχονται πνεῦμα;

μ. Οὔ. πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ ρ.

δ. Τὶ πνεῦμα ἐπιδέχεται τὸ ρ ἐν ἀρχῇ λέξεως;

μ. Δασεῖαν, οἷον ῥήτωρ.

δ. Ὅτε δέ εἰσι δύο ρρ ἐν μέσῳ λέξεως, τὶ πνεῦμα ἑκάτερον ἐπιδέχεται;

μ. Τὸ μὲν πρῶτον Ψιλὴν, τὸ δὲ δεύτερον Δασεῖαν, οἷον ἐπίῤῥημα.

δ. Διατὶ αἱ μὲν ἀπὸ φωνήεντος ἀρχόμεναι λέξεις ἐπιδέχονται πνεῦμα, αἱ δὲ ἀπὸ συμφώνου ἀρχόμεναι οὐκ ἐπιδέχονται;

μ. Ὅτι τὰ μὲν φωνήεντα εἰσὶν ὡς τὰ ἔμψυχα σώματα ἔχοντα πνεῦμα, τὰ δὲ σύμφωνα, ὡς ἱμάτια τούτων ἄψυχα. καὶ καθάπερ ἐκεῖνα αὐτόθεν κινοῦνται, οὕτω καὶ ταῦτα αὐτόθεν φωνοῦνται. καὶ ὥσπερ τὰ ἱμάτια καθ᾽ ἑαυτὰ εἰσὶν ἀκίνητα, οὕτω καὶ τὰ σύμφωνα καθ᾽ ἑαυτὰ οὐδ᾽ ὅλως φωνηθῆναι δύνανται φωνηέντων δίχα. Διὸ εἰκότως ταῦτα μὲν, φωνήεντα λέλεκται.

(ἅτε

τέρον ἐκ δύο καὶ ἡμίσεος ποδῶν συνίσαται. Καὶ ὁ τρίτος τῶν σίχων μικρῶν, Ἴαμβος. τὰ μεῖ, Ἴαμβος ζω, ὁ ἥμισυς τοῦ πρώτου. καὶ, ὁ ἕτερος ἥμισυς τοῦ δευτέρου. ρεῦ ὦν, Ἴαμβος. τὰ ἴ, Ἴαμβος. δι ὤν, Ἴαμβος. τὸ πρῶτον ἐκ δύο καὶ ἡμίσεος, καὶ τὸ δεύτερον ἐκ τριῶν καὶ ἡμίσεος.

δ. Πάσχουσι καὶ οὗτοι συνίζησιν;

μ. Ἔγωγε, Σοφοκλῆς ἐν Ἠλέκτρᾳ· Πρὸς Θεῶν, ἀδελφέ, μὴ δὲ μηκύνειν λόγους. ἡ θε, καὶ ων, ἀντὶ μιᾶς μακρᾶς ἐλήφθησαν συλλαβῆς, καὶ ἐσὶ μετὰ τῆς Πρὸς, Σπονδεῖος.

δ. Μέτρυσον καὶ τὸν σίχον τοῦτον;

μ. πρὸς Θεῶν, Σπονδεῖος. ἀδελ, Ἴαμβος. φεῦ μὴ, Ἴαμβος. δεῦ μὴ, Ἴαμβος κῦ νεῖν, Σπονδεῖος. λόγους, Ἴαμβος. οὗ καὶ τὰ κῶλα ἐκ δύο καὶ ἡμίσεος τὸ πρῶτον, κἀκ τριῶν καὶ ἡμίσεος τὸ δεύτερον ποδῶν συνίσανται.

## Τεχνολογία Σ΄. τῶν Πνευμάτων.

δ. Ὕιος, τίνα προσῳδίαν ἔχει;

μ. Πνεῦμα.

δ. Τί ἐσι Πνεῦμα;

μ. Πνεῦμά ἐσι σημεῖον προσῳδίας, αὐτὸ μὲν οὐκ ἐκφωνούμενον, συντελοῦν δ' ὅλως εἰς τὴν σύνθεσιν τῶν λέξεων.

δ. Διατί Πνεῦμα;

μ. Ὅπου καὶ τοῖς Ἡρωϊκοῖς λήγειν ἔφην ἀνωτέρω.

δ. Πῶς μετροῦνται οἱ Ἰαμβικοὶ στίχοι;

μ. Πα βραχὺ, νῆ μακρὸν, Ἴαμβος. γοῦ βραχὺ, ρὶν μακρὸν, Ἴαμβος. νοῦ βραχὺ, μὴ μακρὸν, Ἴαμβος. ζεῦ βραχὺ, τὸν μακρὸν, Ἴαμβος. δὲ βραχὺ, τὸν μακρὸν, Ἴαμβος. βι βραχὺ, οὐ βραχὺ, Πυῤῥίχιος. Καὶ ὁ δεύτερος. τὴν μακρὸν, πρᾶγ μακρὸν, Σπονδεῖος. μα βραχὺ, τευ μακρὸν, Ἴαμβος. σὴ μακρὸν, χερ μακρὸν, Σπονδεῖος. δοῦς βραχὺ, ἀν μακρὸν, Ἴαμβος. ταλ μακρὸν, λαγ μακρὸν, Σπονδεῖος. μα βραχὺ, γαρ βραχὺ, Πυῤῥίχιος.

δ. Διατί λαγ, καὶ μα, οὐχὶ δὲ λα καὶ γμα ἔφης;

μ. Ὅτι τὸ γ μετὰ τοῦ μ ἐν ἀρχῇ συλλαβῆς, ἢ λέξεως, καθάπερ καὶ μετὰ τῶν ἄλλων συμφώνων οὐδέποτε συντίθεται. πλὴν τοῦ λ, ν, καὶ ρ, οἷον γλῶσσα, γνώμην, γράφει.

δ. Μέτρησον τούτους καὶ συντομώτερον;

μ. μὴ κρῶν, Ἴαμβος. πα μεῖ, Ἴαμβος. ζῶ καὶ, Σπονδεῖος. ρέ ων, Ἴαμβος. πα ι, Ἴαμβος. δι ὢν, Ἴαμβος. Καὶ ὁ τέταρτος. τὴν δαυ, σπονδεῖος. παρελ, Ἴαμβος. θὴ καὶ, Σπονδεῖος. ρὸν ἀλ, Ἴαμβος. λεν οὐχ, Ἴαμβος. ἔχλεις, Ἴαμβος.

δ. Πῶς δὲ καὶ κατὰ τὰ κῶλα μετροῦνται.

μ. Πα νη, Ἴαμβος. γου ριν, Ἴαμβος. νου μη, Ἴαμβος. ζε ὁ ἥμισυς ποὺς τοῦ πρώτου. τὸν, ὁ ἕτερος ἥμισυς τοῦ δευτέρου. δε τὸν, Ἴαμβος. βι ὂν Πυῤῥίχιος. Ἰδοὺ τὸ μὲν πρῶτον ἐκ τριῶν καὶ ἡμίσεος. τὸ δὲ δεύ-

τερον

μ. Ἐκ δύο.

δ. Ἐκ πόσων δὲ χρόνων;

μ. Ἐκ δύο, ἐκ βραχείας, καὶ μακρᾶς, οἷον λέγω.

δ. Ἐκ πόσων δὲ ὁ Πυῤῥίχιος συλλαβῶν σύγκειται;

μ. Ἐκ δύο.

δ. Ἐκ πόσων δὲ χρόνων;

μ. Ἐκ δύο βραχειῶν, οἷον λόγος.

δ. Ποῦ τίθεται ὁ Ἴαμβος;

μ. Ἐν τοῖς ποσὶ πᾶσι τοῦ στίχου.

δ. Ποῦ δὲ ὁ Σπονδεῖος;

μ. Ἐν τῷ πρώτῳ, τρίτῳ, καὶ πέμπτῳ· ὁ γὰρ δεύτερος, καὶ τέταρτος Ποὺς, ἀεὶ Ἰάμβους δέχονται.

δ. Ὁ δὲ Πυῤῥίχιος ποῦ;

μ. Ἐν τῷ ἕκτῳ ἀεὶ καὶ τελευταίῳ.

δ. Πόσα κῶλα ἔχει ὁ Ἰαμβικὸς στίχος;

μ. Δύο.

δ. Ἐκ πόσων ποδῶν ἑκάτερον συνίσταται;

μ. Ὁ τε μὲν ἐκ δύο καὶ ἡμίσεος, ὁ τε δὲ ἐκ τριῶν καὶ ἡμίσεος. καὶ ὅταν τὸ πρῶτον δύο καὶ ἥμισυ ἔχῃ, τότε τὸ δεύτερον ἔχει τρεῖς καὶ ἥμισυ. καὶ ὅταν τὸ πρῶτον τρεῖς καὶ ἥμισυ, τότε τὸ δεύτερον δύο καὶ ἥμισυ. ὡς παρὰ τῷ Θεολόγῳ ἐν τοῖς Τετραστίχοις.

Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Ἣν πραγματεύσῃ, κέρδος, ἀντάλλαγμα γὰρ
Μικρῶν τὰ μείζω, καὶ ῥέοντ' ἀϊδίων.
Ἣν δ' αὖ παρέλθῃ, καιρὸν ἄλλον οὐκ ἔχεις.

δ. Πῶς λήγει καὶ τούτοις τὸ ἥμισυ τῶν ποδῶν;

μ. Οὕπω

μ. Ἐκ Σπονδείων, καὶ Δακτύλων.

δ. Τὸ δὲ δεύτερον ἐκ ποίων;

μ. Ἐκ δύο Δακτύλων ἀεὶ μόνον.

δ. Ποῦ καταπεραιοῦται τοῦ πρώτου ὁ ἥμισυς Ποῦς;

μ. Ἐν τέλει μέρους λόγου μετὰ τοὺς δύο πόδας, ὡς κἀν τοῖς Ἡρωϊκοῖς.

δ. Ποῦ δὲ τοῦ δευτέρου ὁ ἥμισυς;

μ. Καὶ αὐτὸς ἐν τέλει μέρους λόγου μετὰ τοὺς δύο δακτύλους ἐν τῷ τέλει τοῦ στίχου.

δ. Πῶς μετροῦνται οἱ Ἐλεγεῖοι κατὰ τοὺς πόδας;

μ. Ὥσπερ καὶ οἱ Ἑξάμετροι Ἡρωϊκοί.

δ. Πῶς δὲ κατὰ τὰ κῶλα;

μ. ἐξ οὗ, Σπονδεῖος. περ χοῦ, Σπονδεῖος. σμῶ, ὁ ἥμισυς ποῦς τοῦ πρώτου. τῶ δου λῳ, Δάκτυλος. γοῦ δραῦνευ, Δάκτυλος. ω, ὁ ἥμισυς τοῦ δευτέρου· καὶ ἔστιν οὗτος ὁ ἥμισυς μετὰ τοῦ πρώτου ἡμίσεος, Σπονδεῖος. Οὕτω καὶ ὁ τέταρτος. καῖ παῖ, Σπονδεῖος. τῶν βροτεῦ, Δάκτυλος. ων, ὁ ἥμισυς. Χριστοῦ αυ, Δάκτυλος. μεῖ ψαυ μευ, Δάκτυλος. νοῦς, ὁ ἥμισυς. καὶ ἔστι μετὰ τοῦ πρώτου ἡμίσεος Τροχαῖος.

## ΠΕΡΙ ΤΩΝ ΙΑΜΒΙΚΩΝ ΣΤΙΧΩΝ.

δ. Πόσους πόδας ἔχει ὁ Ἰαμβικὸς στίχος;

μ. Ἕξ.

δ. Ἐκ ποίων ποδῶν συνίσταται;

μ. Ἐξ Ἰάμβων, Σπονδείων, καὶ Πυῤῥιχίων.

δ. Ἐκ πόσων συλλαβῶν συνίσταται ὁ Ἴαμβος;

μ. Ἐκ

# ΠΕΡΙ ΤΩΝ ΗΡΩΕΛΕΓΕΙΩΝ ΣΤΙΧΩΝ.

δ. ΟΙ δὲ Ἡρωελεγεῖοι ἐκ ποίων συνίσανται σίχων;
μ. Ἐκ τῶν Ἡρωϊκῶν καὶ Ἐλεγείων.
δ. Ποῖοι τούτων προηγοῦνται τῇ τάξει, καὶ ποῖοι ἕπονται;
μ. Οἱ μὲν Ἡρωϊκοὶ προηγοῦνται, οἱ δὲ Ἐλεγεῖοι ἕπονται· ὡς παρὰ τῷ Θεολόγῳ, πρὸς Ἑλλήνιον περὶ τῶν Μοναχῶν προτρεπτικόν.

Δίζηαι μὲν ἐμῶν μύθων πέδονς ἐκ ἔτ' ἐόντων,
Ἐξ ὑπερκόσμῳ τῷ δ' ὀλιγοδρανέω,
Σταυρὸν ἀειράμενος, φόρτον γλυκὺν, ὅς μ' ἐσάωσε,
Καὶ πάντων βροτέων Χριςὸν ἀμειψάμενος.

Ὁ μὲν πρῶτος Ἡρωϊκὸς, ὁ δὲ δεύτερος Ἐλεγεῖος. καὶ ὁ τρίτος Ἡρωϊκὸς, δὲ τέταρτος Ἐλεγεῖος· καὶ οἱ ἑξῆς ἐκεῖσε ὡσαύτως.

δ. Πῶς λέγονται οἱ Ἐλεγεῖοι;
μ. Πεντάμετροι.
δ. Διατὶ λέγονται πεντάμετροι;
μ. Ὅτι ἐκ πέντε Ποδῶν συνίσαται τούτων ἕκαςος.
δ. Ἐκ ποίων;
μ. Ἐκ Δακτύλων, Σπονδείων, καὶ Τροχαίων.
δ. Πόσα δὲ κῶλα ἔχει ὁ Ἐλεγεῖος σίχος;
μ. Δύο.
δ. Ἐκ πόσων ποδῶν συνίσανται τὰ κῶλα τούτων;
μ. Ἐκ δύο καὶ ἡμίσεος
δ. Ἐκ ποίων τὸ πρῶτον συνίσαται.

ἴδου αἴολον ὄφιν.

δ. Διατὶ λέγονται Μύουροι;

μ. Διὰ τὸ πυρριχιάζειν, καὶ συστολὴν πεπονθέναι τὸν τελευταῖον πόδα τοῦ στίχου κατὰ μυὸς οὐραί.

δ. Ποῖοι τούτων ἐκείνοις ἀντίκεινται ἑκάστοις;

μ. Οἱ μὲν Ἀκέφαλοι τοῖς Μακροκεφάλοις, οἱ δὲ Λαγαροὶ τοῖς Προκοιλίοις, καὶ οἱ Μύουροι τοῖς Μακροσκελέσι καὶ Δολιχούροις.

δ. Πόσα κῶλα ἔχει ὁ Ἡρωϊκὸς Στίχος.

μ. Δύο.

δ. Τὰ δὲ κῶλα πόσους ἔχουσι πόδας;

μ. Τὸ μὲν πρῶτον δύο καὶ ἥμισυ, τὸ δὲ δεύτερον τρεῖς καὶ ἥμισυ.

δ. Ποῦ δεῖ λήγειν τὸν ἥμισυ πόδα;

μ. Τοῦ μὲν πρώτου ἐν τέλει μέρους λόγου, τοῦ δὲ δευτέρου ἀδιαφόρως.

δ. Πῶς μετροῦνται κατὰ τὰ κῶλα οἱ Ἡρωϊκοὶ Στίχοι;

μ. Μῆνιν α΄ Δάκτυλος. ει δε΄ θε΄ Δάκτυλος. ᾱ, τὸ ἥμισυ· πη̄, τὸ ἕτερον ἥμισυ τοῦ ποδὸς, ὅς ἐστι Σπονδεῖος. λη̄ι΄ α΄ Δάκτυλος. δεω̄ α΄ χι΄ Δάκτυλος. λη̄ ο̄ς, Τροχαῖος. ἰδοὺ τὸ μὲν πρῶτον ἐκ δύο καὶ ἡμίσεος, τὸ δὲ δεύτερον ἐκ τριῶν καὶ ἡμίσεος ποδῶν συνίσταται.

δ. Ὅταν δὲ τύχῃ ὁ τρίτος ποὺς δάκτυλος, πῶς μερίζεται;

μ. Ὁτὲ μὲν τῷ πρώτῳ συλλαβαὶ δύο, καὶ τῷ δευτέρῳ μία, ὁτὲ δὲ τοὔμπαλιν, τῷ πρώτῳ μία, καὶ τῷ δευτέρῳ δύο ἀπονέμονται.

Περὶ

δ. Ποῖοι δὲ οἱ Προκοίλιοι;

μ. Ὅσοι ἔχουσι τὴν συνίζησιν μεταξὺ τοῦ πρώτου καὶ τελευταίου ποδὸς τοῦ στίχου. οἵτινες ἐρέθησαν οὕτως ἐκ μεταφορᾶς προγαστόρων ζώων· διὰ τὸ πλεονάζειν ἐν μέσῳ τῶν τοιούτων στίχων μίαν συλλαβὴν ἐξογκοῦσαν τρόπον τινὰ, κοιλίας δίκην, τὴν τοῦ ἔπους μεσότητα.

δ. Ποῖοι δὲ οἱ Μακροσκελεῖς ἢ Δολίχουροι;

μ. Ὅσοι τὴν συνίζησιν ἔχουσιν εἰς πόδα τὸν τελευταῖον τοῦ στίχου.

δ. Εἰσί τινες καὶ ἄλλοι παρὰ τούτους τοιαύτην ὀνομασίαν ἔχοντες;

μ. Ἔγωγε, οἱ ἀντικείμενοι τούτων, οἱ λεγόμενοι Ἀκέφαλοι, Λαγαροὶ, καὶ Μύουροι.

δ. Ποῖοι λέγονται Ἀκέφαλοι;

μ. Οἱ ἐν ἀρχῇ τὴν χωλότητα ἔχοντες, ἀπὸ βραχείας ἀρχόμενοι συλλαβῆς, καὶ οἱονεὶ κεφαλὴν συσταλέντες, οἷον Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

δ. Ποῖοι δὲ οἱ Λαγαροί;

μ. Οἱ ἐν μέσῳ τὴν χωλότητα ἔχοντες, ἀπὸ βραχείας ἀρχομένου συλλαβῆς τινὸς τῶν μεταξὺ τῶν ἄκρων ποδῶν· οἷον Τοῖς ἄλλοις· ἡ γὰρ, ὅγ᾽ ὀλοῇσι φρεσὶ θύει.

δ. Ποῖοι δὲ οἱ Μύουροι;

μ. Οἱ ἔχοντες ταύτην ἐπὶ πόδα τὸν τελευταῖον, ἀπὸ βραχείας ἀρχόμενον συλλαβῆς, καὶ εἰς βραχεῖαν λήγοντα· οἷον Τρῶες δ᾽ ἐρρίγησαν, ὅπως

ἴδον

μ. Συνίζησίς ἐστιν ὅταν δύο συλλαβαὶ, σύμφωνον μεταξὺ μὴ ἔχουσαι, ἀντὶ μιᾶς παραληφθῶσι.

δ. Ποσαχῶς γίνεται ἡ συνίζησις;

μ. Πενταχῶς, ἢ δύο μακραὶ συλλαβαὶ ἀντὶ μιᾶς μακρᾶς λαμβάνονται, οἷον Ἢ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. τὸ η, καὶ ἡ ου δίφθογγος ἐν ἀρχῇ τοῦ στίχου ἀντὶ μιᾶς μακρᾶς ἐλήφθησαν συλλαβῆς. Ἢ δύο βραχεῖαι ἀντὶ μιᾶς μακρᾶς, οἷον Κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα. τὸ ε καὶ α ἐν τῷ τέλει τοῦ στίχου ἀντὶ μιᾶς μακρᾶς εἴληπται. Ἢ δύο βραχεῖαι ἀντὶ μιᾶς βραχείας, οἷον Ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσιν ἔπειθον. ἡ τε καὶ ον συλλαβαὶ ἀντὶ μιᾶς βραχείας. Ἢ βραχεῖα καὶ μακρὰ ἀντὶ μιᾶς βραχείας, οἷον Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Ἀχαιούς· ἡ σε καὶ ῳ συλλαβαὶ ἀντὶ μιᾶς βραχείας. Ἢ βραχεῖα καὶ μακρὰ ἀντὶ μιᾶς μακρᾶς, οἷον Μῆνιν ἄειδε Θεὰ Πηληϊάδεω Ἀχιλῆος. ἡ δε καὶ ω ἀντὶ μιᾶς μακρᾶς.

δ. Ὅσοι τὴν στίχων συνίζησιν πάσχουσι, πῶς λέγονται;

μ. Οἱ μὲν Μακροκέφαλοι καὶ Προκέφαλοι, οἱ δὲ Προκοίλιοι, οἱ δὲ Μακροσκελεῖς καὶ Δολίχουροι.

δ. Ποῖοι λέγονται Μακροκέφαλοι καὶ Προκέφαλοι;

μ. Ὅσοι τὸ πάθος τῆς συνιζήσεως ἔχουσιν εἰς τὸν πρῶτον Πόδα τοῦ στίχου.

δ. Ποῖοι

θυμῷ, τὸ τρο βραχύ.

δ. Πῶς μετροῦνται οἱ ςίχοι ὗτοι;

μ. Πᾶ μακρὸν, τρο βραχὺ, κλε βραχὺ, Δάκτυλος. μοῖ μακρὸν, δεῖ μακρὸν, Σπονδεῖος. λη μακρὸν, πλεῖ μακρὸν. Σπονδεῖος. ςᾶν μακρὸν, κευ βραχὺ, χα βραχὺ, Δάκτυλος. ρις μακρὸν, μευ βραχὺ, νευ βραχὺ, Δάκτυλος. θυ μακρὸν, μῶ μακρὸν, Σπονδεῖος. Καὶ ὁ ἕτερος. ἀλ μακρὸν, λαυ βραχὺ, καὶ βραχὺ, Δάκτυλος. ὡς μακρὸν, πᾶ μακρὸν, Σπονδεῖος. τρο μακρὸν, κλευ βραχὺ, νὲ βραχὺ, Δάκτυλος. ὧν μακρὸν, αὐ βραχὺ, παυ βραχὺ, Δάκτυλος. λη μακρὸν, γοῦ βραχὺ, ἀ βραχὺ, Δάκτυλος. μῦ μακρὸν, νῶν μακρὸν, Σπονδεῖος.

δ. Διατὶ ἀλ μακρὸν, λαυ βραχὺ, καὶ οὐχὶ ἀ μακρὸν, λλαυ βραχὺ ἔφης;

μ. Ὅτι ἐπειδὰν τύχωσι δύο σύμφωνα ταυτὰ, τὸ μὲν πρῶτον ἀκολουθεῖ τῇ ἡγουμένῃ συλλαβῇ, τὸ δὲ δεύτερον τῇ ἑπομένῃ συντίθεται· διὰ τὸ μηδέποτε λέξιν, ἢ συλλαβὴν ἀπὸ δύο συμφώνων ὁμοίων ἄρχεσθαι.

δ. Πῶς δὲ καὶ ἄλλως μετροῦνται συντομώτερον;

μ. Μῆνιν ἄ, Δάκτυλος. εἶδε θε, Δάκτυλος. ἃ πη, Σπονδεῖος. ληϊ ἀ, Δάκτυλος. δέω ἀχι, Δάκτυλος. λῆος Τροχαῖος.

δ. Διατὶ τέσσαρας συλλαβὰς ἔχει ὁ πέμπτος Πούς;

μ. Ὅτι ἐςὶ συνίζησις.

δ. Τί ἐςι συνίζησις;

μ. Κοινὴ συλλαβή ἐστιν ἡ ἀδιαφόρως μακρά τε καὶ βραχεῖα λαμβανομένη.

δ. Ποῖαί εἰσιν αἱ Κοιναὶ συλλαβαὶ τοῦ πρώτου τῶν εἰς τρία, αἱ πρῶται τῶν ἑπομένων, ἢ αἱ τελευταῖαι τῶν ἡγουμένων μερῶν τοῦ λόγου;

μ. Αἱ τελευταῖαι τῶν ἡγουμένων μόναι.

δ. Παραδειγμάτισον τὸν πρῶτον τρόπον.

μ. Οὔτι μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν. Ἴδου τὸ, τιη βραχεῖα ἅπαξ, ἐν ᾗ οἱ δίφθογγος βραχεῖα τεὶς, ἑπομένου φωνήεντος. καὶ Αὐτὰρ ἐπεὶ Δαναῶν γένετο ἰαχή τε θρόος τε. Ἴδου κἀνταῦθα τὸ ο, ἐν τῷ γένετο μακρόν ἐστι. καὶ τοῦ διχρόνου παράδειγμα· Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν. τὸ α ἐν τῷ Μέγα, μακρόν ἐστι.

δ. Παραδειγμάτισον καὶ τὸν δεύτερον;

μ. Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. τὸ θεν, μακρόν ἐστι. καὶ, Ἀντὶ νῦ εἶπέρ μοι καὶ ἀγάσσεαι ὅττι κεν εἴπω. τὸ κεν βραχύ, ἅτε δὴ κοινόν. καὶ, Τειρομένους ἐλέαιρε κατὰ στρατὸν, οἷς ε Θεὸν ὥς. τὸ ο, ἐν μὲν τῷ Στρατὸν, βραχὺ, ἐν δὲ τῷ Θεὸν, μακρόν. καὶ παρὰ τῷ Θεολόγῳ πρὸς Ἑλλήνιον περὶ τῶν Μοναχῶν. καὶ τέκον ἡ μερίοις ἀγνῆς διὰ μητρὸς ἰόντα (τὸ, κόν, βραχὺ) παρθενίου, ὄφρα νόμον ἀνδρόμεον τελέσῃ. τὸ, μον μακρόν. Τοῦ δὲ τρίτου σαφὲς τὸ δεῖγμα, οἷον Ἀλλὰ καὶ ὣς Πάτροκλε νεῶν ἄπο λοιγὸν ἀμύνων. ἴδου τὸ πα, καὶ τρο, μακρά. καὶ, Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,

σα διαιροῦνται;

μ. Εἰς τρία, εἰς Μακρὰν, εἰς Βραχεῖαν, καὶ εἰς Κοινήν.

δ. Εἰς πόσα διαιρεῖται ἡ Μακρὰ συλλαβή;

μ. Εἰς δύο, εἰς φύσει, καὶ θέσει μακράν.

δ. Ποσαχῶς γίνεται ἡ φύσει μακρά;

μ. Τριχῶς, ἤτοι φύσει μακρῷ φωνήεντι, οἷον ἥρως, ἢ διχρόνῳ ἐκτεταμένῳ, οἷον λαὸς, χρυσὸς, ἢ διφθόγγῳ, οἷον αἰνείω.

δ. Ποσαχῶς δὲ ἡ θέσει;

μ. Μοναχῶς, δυοῖν ἐπιφερομένοιν συμφώνοιν, ἤτοι ἐνεργείᾳ, οἷον ἄρτος· ἢ δυνάμει, οἷ ἄξω, τύψω.

δ. Διατὶ δυνάμει ἔφης;

μ. Ὅτι τὸ ξ, καὶ ψ, ὥσπερ καὶ τὸ ζ, ἐκ δύο γραμμάτων σύγκεινται.

δ. Ἡ δὲ Βραχεῖα ποσαχῶς;

μ. Διχῶς, ἤτοι φύσει βραχεῖ φωνήεντι, οἷον λόγος; ἢ διχρόνῳ συνεσταλμένῳ, οἷον μοῦσα. γυνή.

δ. Ποσαχῶς δὲ ἡ Κοινή;

μ. Τριχῶς, ἢ ὅταν ἕκαστον μέρος λόγου εἰς δίφθογγον; ἢ εἰς μακρὸν φύσει, ἢ εἰς βραχὺ φύσει, ἢ εἰς δίχρονον φωνῆεν λήγῃ, καὶ ἡ ἑπομένη συλλαβὴ ἄρχηται ἀπὸ φωνήεντος. ἢ ὅταν εἰς εν λήγῃ, ἢ εἰς ον, καὶ ἡ ἑξῆς ἀπὸ φωνήεντος ἄρχηται, τηνικαῦτα τὸ, ε καὶ ο κοινόν ἐστιν. ἢ ὅταν ἐπιφέρηται δύο σύμφωνα, τὸ πρῶτον ἄφωνον, καὶ τὸ δεύτερον ἀμετάβολον, βραχεῖ φωνήεντι, ἢ διχρόνῳ συνεσταλμένῳ.

δ. Τί ἐστι Κοινὴ συλλαβή;

δ. Ἐκ πόσων δὲ Χρόνων;

μ. Ἐκ δύο, ἐκ μακρᾶς καὶ βραχείας, οἷον θεῖος.

δ. Πῶς λέγονται οἱ τρεῖς οὗτοι Πόδες κατὰ χρόνον;

μ. Ὁ μὲν Σπονδεῖος, καὶ ὁ Δάκτυλος τετράχρονοι, ὁ δὲ Τροχαῖος τρίχρονος.

δ. Διατὶ λέγονται τετράχρονοι, εἴπερ ὁ μὲν ἐκ δύο μακρῶν, ὁ δὲ ἐκ μακρᾶς, καὶ δύο βραχειῶν σύγκειται;

μ. Ὅτι ἡ μακρὰ δύο βραχεῖς ἔχει χρόνους δυνάμει· ἐκ δύο γὰρ βραχειῶν συνετέθη.

δ. Ποῦ τίθεται ὁ Δάκτυλος;

μ. Ἐν τοῖς ποσὶ τοῦ στίχου πᾶσι, πλὴν τοῦ ἕκτου.

δ. Ὁ δὲ Σπονδεῖος ποῦ;

μ. Καὶ αὐτὸς ἐν πᾶσι, πλὴν τοῦ πέμπτου. καίτοι παρὰ Ποιηταῖς εὕρηταί που Σπονδεῖος καὶ ὁ πέμπτος κατὰ ἄδειαν ποιητικήν· οἷον Ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα· ἢ καὶ ἄλλα χοῦ κατά τι πάθος τῶν στίχων λεγόμενον ἰσόχρονον.

δ. Ποῖόν ἐστι τὸ ἰσόχρονον πάθος;

μ. Τὸ τὰ μεγέθη τῶν συλλαβῶν, καὶ τοὺς πόδας τοὺς αὐτοὺς ἔχων ἀπὸ τοῦ πρώτου μέχρι τοῦ ἐσχάτου· οἷον Ἀτρείδης, τῶν δ' αὖτ' ἐκ δίφρου γουνάζέσθην. πάντες γὰρ Σπονδεῖοι.

δ. Ὁ δὲ Τροχαῖος, ποῦ;

μ. Ἐν τῷ ἕκτῳ ἀεὶ καὶ τελευταίῳ.

δ. Αἱ δὲ συλλαβαὶ ἐξ ὧν οἱ πόδες σύγκεινται εἰς πό-

δ. Πόσοι Χρόνοι τῆς προσῳδίας;
μ. Δύο, Βραχεῖα, καὶ Μακρά.
δ. Ποῦ τίθενται ἡ μακρὰ καὶ βραχεῖα;
μ. Ἐπὶ τῶν ποδῶν τῶν στίχων, οἷον
Μῆ νῖ νά ει δε ΰ θεὶ ά πη λη ἴ ά δε ω ά χι λῆ ὅς.
δ. Πῶς λέγεται ὁ στίχος οὗτος;
μ. Ἡρωϊκὸς, καὶ ἑξάμετρος.
δ. Διατὶ λέγεται Ἡρωϊκός;
μ. Ὅτι Ἡρώων πράξεις οἱ ἡρωϊκοὶ στίχοι ᾄδουσι.
δ. Διατὶ λέγονται οἱ Ἡρωϊκοὶ στίχοι Ἑξάμετροι;
μ. Ὅτι ἕκαστος τούτων στίχος ἓξ ἔχει πόδας.
δ. Τί ἐστι Πούς;
μ. Ποῦς ἐστι μετρικὸν σύστημα συλλαβῶν.
δ. Ἐκ ποίων ποδῶν σύγκειται ὁ ἑξάμετρος ἡρωϊκὸς στίχος;
μ. Ἐκ Δακτύλων, Σπονδείων, καὶ Τροχαίων.
δ. Πόσας συλλαβὰς ἔχει ὁ Δάκτυλος;
μ. Τρεῖς.
δ. Ἐκ πόσων σύγκειται Χρόνων;
μ. Ἐκ τριῶν, ἐκ μακρᾶς, καὶ δύο βραχειῶν, οἷον ῆ λι ος
δ. Ὁ δὲ Σπονδεῖος ἐκ πόσων συλλαβῶν σύγκειται;
μ. Ἐκ δύο.
δ. Ἐκ Χρόνων δὲ πόσων;
μ. Ἐκ δύο μακρῶν, οἷον ἥ ρως.
δ. Ὁ δὲ Τροχαῖος ἐκ πόσων συλλαβῶν σύγκειται;
μ. Ἐκ δύο.

δ. Πότε τὸ Ἔστι δέχεται τὸν τόνον ἐπὶ τῆς παραληγούσης;

μ. Ἐν ἀρχῇ τῆς περιόδου, οἷον ἔστι πόλις ἐφύρη· παρ Ὁμήρῳ. ἔτι δὲ καὶ εἰ ἑπόμενόν ἐστι τῶν ναὶ, οὐκ, καὶ, ἀλλὰ, ὡς, εἰ, τοῦτο· οἷον ναὶ ἔστιν, οὐκ ἔστι, καὶ ἔστιν, ἀλλ' ἔστιν, ὡς ἔστιν, εἰ ἔστι, τοῦτ' ἔστι.

δ. Λαβεῖν, τίνα τόνον ἔχει;

μ. Περισπωμένην.

δ. Διατὶ Περισπωμένην;

μ. Ὅτι παντὸς ῥήματος ὁ Ἀόριστος δεύτερος ἐν τοῖς Ἀπαρεμφάτοις τῶν ἐνεργητικῶν βαρυτόνων περισπᾶται.

δ. Ἤ, τίνα τόνον ἔχει;

μ. Βαρεῖαν.

δ. Διατὶ βαρεῖαν;

μ. Διὰ τὴν συνέπειαν.

δ. Τὶ δὲ, εἰ μὴ συνέπεια εἴη;

μ. Ὀξεῖαν.

δ. Διατὶ Ὀξεῖαν;

μ. Ὅτι οἱ Διαζευκτικοὶ Σύνδεσμοι ὀξύνονται.

## Τεχνολογία Ρ'. τῶν Χρόνων τῆς Προσῳδίας.

δ. Τί ἐστι Χρόνος ὁ τῆς Προσῳδίας;

μ. Χρόνος τῆς Προσῳδίας ἐστὶ σημεῖον φωνήεντος, ποσότητι καιροῦ μετρούμενον.

δ. πό-

μ. Εἰμὲν τὰ ἐγκλιτικὰ τὸν οἰκεῖον φυλάττουσι τόνον, φυλάττουσι καὶ τὰ ὀξύτονα τὴν οἰκείαν βαρεῖαν· οἷον περὶ σοῦ· Εἰ δὲ τὰ ἐγκλιτικὰ τὸν οἰκεῖον ἀποβάλλουσι τόνον, τρέπουσι καὶ τὰ ὀξύτονα τὴν Βαρεῖαν εἰς Ὀξεῖαν, οἷον Θεός μου.

δ. Τὰ δὲ ἐγκλινόμενα προπερισπώμενα ὅταν προφέρωνται, ποῖον τῶν δύο τόνων φυλάττουσι;

μ. Τὸν οἰκεῖον, τὴν Περισπωμένην δηλαδή, οἷον σῶμά μου· ἰδοὺ ἡ Ὀξεῖα ἐν τῷ προφέρεσθαι ἀργὴ μεμένηκεν· οἱ δὲ προτείνοντες τὴν φωνὴν, ὥσπερ οἱ ἄδοντες, δύναιντ' ἂν ἄμφω ἐκφωνεῖν τῷ τόνῳ.

δ. Ἐν ποίοις τῶν ἐγκλινομένων προφέρεται καὶ ὁ τόνος τῶν ἐγκλιτικῶν;

μ. Ἐν τοῖς προπαροξυτόνοις, οἷον ἄνθρωπός τις.

δ. Ὅταν ἐγκλιτικὰ ἐγκλιτικοῖς ἀμέσως ἕπωνται, πῶς τὸν οἰκεῖον ἀναπέμπουσι τόνον;

μ. Τὸ ὕστερον εἰς τὸ πρότερον, κἀκεῖνο εἰς τὸ πρὸ αὐτοῦ, καὶ τἄλλα ἐφεξῆς ὁμοίως. οἷον καὶ γάρ εἰσί τινές που.

δ. Πῶς λέγονται ταῦτα;

μ. Συνεγκλιτικά.

δ. Εἰσί τινα τῶν ἐγκλινομένων μὴ ἔχοντα τόνον;

μ. Ναί, εἰσὶν· ἐν, εἰς, ἐκ, οὐ· Ἀλλ' ὅτε αὐτοῖς ἐγκλιτικὰ ἕπονται, λαμβάνουσι τὸν τόνον τῶν ἐγκλιτικῶν, οἷον ἔντινι, εἴστινα, ἔκτινος, οὔμοι. Τὸ δέ γε Οὐ, ἐν τῷ τέλει τοῦ λόγου, ἐπιδέχεται ὀξεῖαν· οἷον Παιδία, μήτι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ, οὔ.

νος ὐκ ἐγκλίνεται. Τὰ δὲ ἐγκλιτικὰ εἰς τὰ ἐγκλινόμενα τὸν οἰκεῖον ἀναπέμπουσι τόνον.

δ. Ποῖά εἰσι τὰ ἐγκλινόμενα;

μ. Πᾶσα λέξις προπαροξύτονος, καὶ προπερισπωμένη. Πλὴν τῶν προπερισπωμένων, ὅσαι τὴν λήγουσαν ἔχουσι θέσει μακράν, αὗται γὰρ οὐδέποτε ἐγκλίνονται. καὶ τὰ ἑπόμενα ταύταις ἐγκλιτικὰ τὸν οἰκεῖον τόνον φυλάττουσιν, οἷον κήρυξ τίς. αὖλαξ ἐστίν.

δ. Τί οὖν γίνεται ὁ τόνος τοῦ ἐγκλιτικοῦ, ὅταν ἡ πρὸ αὐτοῦ λέξις τῶν οὐκ ἐγκλινομένων τυγχάνῃ;

μ. Ἀποβάλλεται, ἀλλ' οὐκ ἐν πᾶσιν. ἐν γὰρ τῇ Προθέσεσιν οὐκ ἀποβάλλουσι πάντα τὰ ἐγκλιτικὰ τὸν οἰκεῖον τόνον, ἀλλὰ τινὰ μὲν φυλάττουσιν αὐτὸν, οἷον διὰ σέ, μετὰ σοῦ, περὶ σοῦ, πρὸς σέ· τινὰ δ' οὔ. οἷον πρός με, περί που, κατά γε. Τὰ δὲ Ὀνόματα τό τις καὶ τι ἀόριστα συνταττόμενα τῇ Προθέσεσι, τό, τε Ὑπαρκτικὸν ῥῆμα, καὶ τὸ Φημὶ συντιθέμενον αὐταῖς, ἀεὶ ἀποβάλλουσι τὸν οἰκεῖον τόνον, οἷον ἀπότινος, πρόσεστι, ξύμφημι, ἀπόφημι.

δ. Ἐν δὲ τοῖς παροξυτόνοις φυλάττουσι τὰ ἐγκλιτικὰ τὸν οἰκεῖον τόνον, ἢ ἀποβάλλουσι;

μ. Τὰ μὲν δισύλλαβα ἐγκλιτικὰ φυλάττουσιν, οἷον ἀνθρώπου τινός, λόγος ἐστί. τὰ δὲ μονοσύλλαβα ἀποβάλλουσιν, οἷον ἀνθρώποις τε, δόξα σοι.

δ. Ὅταν τοῖς ὀξυτόνοις ἕπωνται τὰ ἐγκλιτικά, φυλάττουσι τὴν Βαρεῖαν τὰ ὀξύτονα;

μ. Εἰ-

δ. Τί ἐστιν Ἐγκλιτικόν;

μ. Ἐγκλιτικόν ἐστι τὸ τὸν οἰκεῖον τόνον εἰς τὴν τελευταίαν συλλαβὴν τῆς προηγουμένης λέξεως ἀναπέμπων.

δ. Παραδειγμάτισον.

μ. Ἐν τῷ ἐπικαλεῖσθαί με, ἰδοὺ τὸ με, εἰς τὸ σθαι τὸν οἰκεῖον ἀνέπεμψε τόνον.

δ. Ἐκ ποίων μερῶν τοῦ λόγου εἰσὶ ταῦτα, καὶ ποῖα;

μ. Ἐκ μὲν Ὀνομάτων τὸ τις, καὶ τι ἀόριστον· τὸ γὰρ ἐρωτηματικὸν τίς, καὶ τί, οὐκ ἔστιν ἐγκλιτικόν· διὸ καὶ τοῖς ἐγκλινομένοις ἑπόμενον, φυλάττει τὸν οἰκεῖον τόνον. Καὶ ἐρωτηματικὸν μὲν, Οἱ ἐλθόντες μοναχοί, τίνες; ἀόριστον δὲ ἐλθόντες μοναχοί τινες. Ἐκ δὲ Ῥημάτων τὸ φημὶ, καὶ εἰμὶ, οἱ Ἐνεστῶτες, ἐν παντὶ ἀριθμῷ τε καὶ προσώπῳ, πλὴν τοῦ δευτέρου· τὸ γὰρ δεύτερον τούτων ἑνικὸν πρόσωπον ἐγκλίνεται οὐδέποτε. Ἐξ Ἀντωνυμιῶν δὲ, μου, μοι, με, σου, σοι, σε, ου, ε, μιν, νιν, σφε, σφῶε, σφιν. Ἐξ Ἐπιρρημάτων δὲ, ποτὲ, ποθὲν, πού, πῶς, πῆ, τὰ ἀόριστα, οὐχὶ δὲ τὰ ἐρωτηματικά. Ἐκ δὲ Συνδέσμων, τε, γε, τοι, πω, περ, καὶ, ἀλλ', ἄττα.

δ. Τὸ δὲ Τὶς, πῶς τὸν οἰκεῖον ἀνέπεμψε τόνον; οὐκ ἔστι γὰρ εἰς τὸ πᾶς.

μ. Οὐδέπω.

δ. Διατί;

μ. Ὅτι τὸ Πᾶς, ἐστι τῶν οὐκ ἐγκλινομένων. πᾶσα γὰρ λέξις περισπωμένη, ὀξύτονός τε, καὶ παροξύτονος

δ. Ἀπὸ, τίνα τόνον ἐπιδέχεται;

μ. Βαρεῖαν.

δ. Διατὶ Βαρεῖαν;

μ. Διὰ τὴν συνέπειαν.

δ. Τὶ δὲ, εἰ μὴ συνέπεια, εἴη;

μ. Ὀξεῖαν.

δ. Διατὶ Ὀξεῖαν;

μ. Ὅτι τῇ Προθέσει παρέπεται τὸ ὀξύνεσθαι.

δ. Αὖλαξ, τίνα τόνον ἔχει;

μ. Περισπωμένην.

δ. Διατὶ Περισπωμένην;

μ. Ὅτι μακρὸν φύσει, πρὸ μακροῦ θέσει κείμενον περισπᾶται.

Ἐπὶ τὴν μητέρα αὐτοῦ γῆν δύνωνι πᾶς αὖθις ἀναλύσει, τοῦ λαβεῖν βασάνους, ἢ γέρα τῶν βεβιωμένων.

δ. Πᾶς, τίνα τόνον ἐπιδέχεται;

μ. Περισπωμένην.

δ. Διατὶ Περισπωμένην;

μ. Ὅτι πάντα τὰ εἰς ας λήγοντα ὀνόματα ἀρσενικὰ, ἰσοσύλλαβά τε καὶ περιττοσύλλαβα, μονοσύλλαβά τε καὶ πολυσύλλαβα, τὸν τόνον ἐπὶ τῆς ληγούσης δεχόμενα, μακροκατάληκτα ὄντα, περισπῶνται.

δ. Τὶς, τίνα τόνον ἔχει;

μ. Οὐδένα.

δ. Διατί.

μ. Ὅτι ἐστὶν ἐκ τῶν ἐγκλιτικῶν.

μ. Ὀξεῖαν.
δ. Διατὶ Ὀξεῖαν;
μ. Ὅτι πάντες οἱ Συμπλεκτικοὶ Σύνδεσμοι ὀξύνονται.
δ. Πάντα, τίνα τόνον ἔχει;
μ. Ὀξεῖαν.
δ. Διατὶ Ὀξεῖαν;
μ. Ὅτι ἐπάνω θέσει μακρῷ Περισπωμένη ἐ τίθεται.
δ. Πληρῶν, τίνα τόνον ἔχει;
μ. Περισπωμένην.
δ. Διατὶ Περισπωμένην;
μ. Ὅτι πᾶσα Ὀνομαστικὴ καὶ Αἰτιατικὴ τὸν τόνον ἐπὶ τῆς ληγούσης δεχομένη, ἀπὸ συναιρέσεως οὖσα περισπᾶται.
δ. Θησαυρὸς, τίνα τόνον ἔχει;
μ. Βαρεῖαν.
δ. Διατὶ Βαρεῖαν;
μ. Διὰ τὴν συνέπειαν.
δ. Τί δὲ, εἰ μὴ συνέπεια εἴη;
μ. Ὀξεῖαν.
δ. Διατὶ Ὀξεῖαν;
μ. Ὅτι ἐπάνω βραχέος περισπωμένη ἐ τίθεται.
δ. Ἀγαθῶν, τίνα τόνον ἐπιδέχεται;
μ. Περισπωμένην.
δ. Διατὶ Περισπωμένην;
μ. Ὅτι πᾶσα Γενικὴ, καὶ Δοτικὴ μακροκατάληκτος οὖσα, τὸν τόνον ἐπὶ τῆς ληγούσης δεχομένη, περισπᾶται.

δ. Ἀπὸ,

μ. Πεϱισπωμένων.

δ. Διατὶ Πεϱισπωμένων;

μ. Ὅτι τὰ εἰς χου λήγοντα ἐπιῤῥήματα πεϱισπῶνται.

δ. Παρὼν, τίνα τόνον ἔχει;

μ. Βαρεῖαν.

δ. Διατὶ Βαρεῖαν;

μ. Διὰ τὴν συνέπειαν.

δ. Τί ἐστι Συνέπεια;

μ. Συνέπειά ἐστιν ἀκολουθία λέξεως ἐφ' ἑτέραν. ἢ Συνέπειά ἐστιν, ὅτε μετὰ τὴν λέξιν ἑτέρα λέξις ἕπεται.

δ. Πότε οὖν τίθεται Ὀξεῖα ἐν ταῖς ὀξυτόνοις λέξεσιν;

μ. Ὅτε μετὰ τὴν πεϱίοδον διάνοιαν αὐτοτελῆ δηλοῦσαν, στιγμὴ τίθεται, οἷον Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. ἰδοὺ ἐν τῇ Ἐγὼ Ἀντωνυμίᾳ ὀξεῖα τέθειται.

δ. Τί δὲ, εἰ μὴ συνέπεια εἴη, ἐδέχετο;

μ. Ὀξεῖαν.

δ. Διατὶ Ὀξεῖαν;

μ. Ὅτι πᾶσα Ὀνομαστικὴ καὶ Αἰτιατικὴ ἀσυναίρετος οὖσα, καθ' ἑαυτὴν ὀξύνεται. πλὴν τῶν εἰς ας πεϱισπωμένων ἀρσενικῶν.

δ. Καὶ, τίνα τόνον ἐπιδέχεται.

μ. Βαρεῖαν.

δ. Διατὶ Βαρεῖαν;

μ. Διὰ τὴν συνέπειαν.

δ. Τὶ δὲ, εἰ μὴ συνέπεια εἴη, ἐδέχετο;

δ. Διατὶ Ὀξεῖαν;
μ. Ὅτι πρὸ δύο συλλαβῶν ἀεὶ Ὀξεῖα τίθεται;
δ. Πνεῦμα, τίνα τόνον ἔχει;
μ. Περισπωμένην.
δ. Διατὶ Περισπωμένην;
μ. Ὅτι πᾶν φύσει μακρὸν πρὸ βραχέος κείμενον περισπᾶται.
δ. Τῆς, τίνα τόνον ἔχει;
μ. Περισπωμένην.
δ. Διατὶ Περισπωμένην;
μ. Ὅτι πᾶσα Γενικὴ καὶ Δοτικὴ τῶν Ἄρθρων περισπᾶται.
δ. Ἀληθείας, τίνα τόνον ἔχει;
μ. Ὀξεῖαν.
δ. Διατὶ Ὀξεῖαν;
μ. Ὅτι μακρὸν πρὸ μακροῦ φύσει κείμενον ὀξύνεται.
δ. Διατὶ τὸν τόνον ἡ λέξις αὕτη οὐκ ἐπὶ τῆς προπαραληγούσης ἔχει;
μ. Ὅτι πᾶσα Γενικὴ καὶ Δοτικὴ τῶν Ἰσοσυλλάβων μακροκαταληκτεῖ. μακρᾶς δὲ οὔσης τῆς ληγούσης, Τόνος οὐ τίθεται ἐπὶ τῆς προπαραληγούσης. Πλὴν τῶν εἰς ω ληγόντων ἀττικῶν ὀνομάτων, καὶ τῆς αι καὶ οι διφθόγγου, μακρῶν μὲν οὐσῶν ἀεὶ κατὰ χρόνον, βραχειῶν δὲ κατὰ τόνον, οἷον πόλεως, φιλόσοφοι, λέγονται. Χωρὶς τῶν Εὐκτικῶν· ἐν ἐκείνοις γὰρ κατά τε Τόνον, καὶ Χρόνον ἡ αι καὶ οι μακραί εἰσι.
δ. Παντὸς, τίνα τόνον ἔχει;

μ. Πε-

ἄκρων, ἐξ ὧν σύγκειται.

δ. Τί σημαίνει ἡ ἐπίτασις.

μ. Φωνῆς ἀνάβασιν.

δ. Ἡ ἄνεσις δὲ τί;

μ. Φωνῆς κατάβασιν.

δ. Διατὶ λέγεται Ὀξεῖα;

μ. Ὅτι ἀναβαίνουσα ἡ φωνὴ λεπτύνεται, καὶ τρόπον τινὰ κουφίζεται.

δ. Διατὶ λέγεται Βαρεῖα;

μ. Ὅτι καταβαίνουσα ἡ φωνὴ παχύνεται καὶ βαρύνεται, καθάπερ ἐπὶ τῆς χορδῆς φαίνεται· ἐπιτεινομένη μὲν, ὀξεῖαν τε καὶ λεπτὴν, ἀνιεμένη δὲ βαρεῖαν, καὶ οἱονεὶ ὀγκώδη ἐκπέμπει φωνήν.

δ. Διατὶ λέγεται Περισπωμένη;

μ. Ὅτι ἐξ ἑκατέρων τῶν μερῶν ἀμοιβαδὸν σπᾶται. ἡ γὰρ φωνὴ μέση οὖσα, νῦν μὲν εἰς ἀνάβασιν, νῦν δὲ εἰς κατάβασιν ὑπὸ τῆς ἀνιούσης καὶ κατιούσης ἐφέλκεται.

δ. Τὸ, Βασιλεῦ, τίνα τῶν Τόνων ἔχει;

μ. Περισπωμένην.

δ. Διατὶ Περισπωμένην;

μ. Ὅτι πᾶσα Κλητικὴ ἑνικὴ τῆς τρίτης τῶν συνῃρημένων κοινῶς περισπᾶται.

δ. Διατὶ κοινῶς ἔφης;

μ. Ὅτι Ἀττικῶς ὀξύνεται.

δ. Οὐράνιε, τίνα τόνον ἔχει ἡ λέξις αὕτη;

μ. Ὀξεῖαν.

δ. Δια-

δ. Ὁποία;
μ. Τόνος.
δ. Διατὶ Τόνος;
μ. Ὅτι πᾶσα λέξις τόνον ἕνα ἐπιδέχεται, ἢ ἐν τῇ ληγούσῃ, ἢ παραληγούσῃ, ἢ προπαραληγούσῃ.
δ. Δέχεταί ποτε τόνον ἡ λέξις πρὸ τῆς προπαραληγούσης;
μ. Οὐδέποτε.
δ. Διατί;
μ. Ὅτι πρὸ τριῶν συλλαβῶν οὐδεὶς τῶν τόνων τίθεται.
δ. Τί ἐστι Τόνος;
μ. Τόνος ἐστὶν ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα.
δ. Ποῖος τῶν Τόνων σημαίνει συλλαβῆς ἐπίτασιν;
μ. Ἡ Ὀξεῖα.
δ. Ποῖος δὲ ἄνεσιν;
μ. Ἡ Βαρεῖα.
δ. Ποῖος δὲ μεσότητα;
μ. Ἡ Περισπωμένη.
δ. Διατὶ σημαίνει μεσότητα ἡ Περισπωμένη.
μ. Ὅτι μέσον ἐστὶν ἀνέσεως καὶ ἐπιτάσεως, ἄκρων ἁπλῶν οὐσῶν ἀντικειμένων.
δ. Ἡ δὲ Περισπωμένη ἁπλῆ ἐστιν, ἢ σύνθετος;
μ. Σύνθετος.
δ. Πόθεν συντίθεται;
μ. Ἐξ Ὀξείας καὶ Βαρείας. πᾶν γὰρ μέσον μετέχει τῶν ἄκρων,

ράχοις, τοῦτό γέ μοι δός.

δ. Οἱ δὲ Ἐναντιωματικοὶ πῶς τίθενται;

μ. Ἐν ταῖς ἀρχαῖς τῶν συντάξεων προηγούμενοί τε καὶ ἐπαγόμενοι, οὐ μέντοι ἐν προοιμίοις ποιήσεως, ἢ συγγραφῆς· κατ' ἐναντίωσιν δὲ νοημάτων, ἢ διηγημάτων προειρημένων παραλαμβανόμενοι, οἷον Ἔμπης δ' οὐκ ἐδάμασσα, Θεὸς νύ τις ἐστὶ κοτήεις. ἀλλ' ἔμπης Δαναῶν ὀλοφυρόμεθ' αἰχμητάων. Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. Καὶ ὁ Ὅμως Συνδεσμος ὡσαύτως ἔχει τῷ Ἔμπης Συνδέσμῳ. οἷον ἔκαμον παραινῶν, ἀλλ' ὅμως ἔτι παραινέσω. Καὶ ἔσπευδε προφθάσαι, ὅμως δ' οὐκ ἔφθασε. Καὶ ἐν προστάξει· οἷον εἰ καὶ μὴ προεθυμήθης, ἄλλοτε πρᾶξαι, ὅμως νῦν πρᾶξαι μὴ παραιτοῦ.

## Τεχνολογία Π'. τῶν Τόνων.

Βασιλεῦ οὐράνιε παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος· καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

δ. Βασιλεῦ, ἔστι τίς προσῳδία ἐπάνω τῆς λέξεως ταύτης;

μ. Ἔγωγε.

δ. ὁποία;

παραπληροῦντες, ἢ φράσιν κοσμοῦντες· οἷον Ἤνυσε πῶ δέος ἴσχει ἀκήριον. Α'ἰ δὲ τοῖς ἄλλοις μέρεσι τοῦ λόγου ὑποτάσσονται, οἷον Ἄλλοι μὲν ῥα θεοίτε κ, ἀνέρες ἱπποκορυςαί.

δ. Εἰς πόσα διαιροῦνται οἱ Παραπληρωματικοὶ Σύνδεσμοι;

μ. Εἰς δύο, εἰς Κοινὰς, καὶ Ποιητικάς.

δ. Ποῖοί εἰσιν οἱ Κοινοί;

μ. Δὴ, που, δῆτα, τοι, μην, αυ, οὐ, γε, περ, πω.

δ. Ποῖοι δὲ οἱ Ποιητικοί;

μ. ρα, νυ, θην, αρ, τω, κεν. Ἰσοδυναμεῖ δὲ ὁ Κεν τῷ αν. οἱ δὲ λοιποὶ τῷ δη.

δ. Ὁ δὲ δυνητικὸς Ἂν, ποίοις συντάσσεται χρόνοις.

μ. Τοῖς μὲν Ὁριςικοῖς τῷ Παρατατικῷ, Ὑπερσυντελικῷ, καὶ Ἀορίςῳ, οἷον ἔγραφον ἂν, ἐγεγράφειν ἂν, ἔγραψα ἂν. τοῖς δὲ Εὐκτικοῖς καὶ Ὑποτακτικοῖς παντὶ χρόνῳ, ἀλλὰ τῷ Ὑποτακτικῷ προτάσσεται μόνον, τοῖς δὲ Ὁριςικοῖς κ, Εὐκτικοῖς ὑποτάσσεται, καὶ προτάσσεται.

δ. Διατὶ λέγεται δυνητικὸς ὁ Ἂν;

μ. Ὅτι ἡ σύνταξις εἰς τὸ δύνασθαι μεταφέρεται, οἷον ἔλεγον ἂν, ἀντὶ τοῦ ἠδυνάμην λέγειν. ἔγραψα ἄν, ἀντὶ τοῦ ἠδυνάμην γράψαι. Τὴν αὐτὴν σύνταξιν ἔχει καὶ ὁ Κεν ποιητικός.

δ. Οἱ δὲ Μειωτικοὶ, οἱ καὶ Ἐλαττωτικοὶ λεγόμενοι, τί σημαίνουσι;

μ. Μείωσίν τε καὶ ἐλάττωσιν, οἷον εἰ μὴ ἐκεῖνο μει πα-

 ράχοις,

νισεν εἰς Βαβυλῶνα.

δ. Ταῖς δὲ Ἀπορρηματικοῖς, πῶ;

μ. Ἐν τοῖς ζητήμασιν ἐπαπορουῦτες, οἷον ἆρα τί τῶ Ἀγγέλων ἡ φύσις; ἆρα ἐπὶ τίνος ἡ γῆ πέπηγεν; ἆρα σοι ἀλόγως λελυπῆσθαι δοκῶ; Καὶ Ἀειστοφάνης, ἆρ᾽ ἐκδιδάσκω τὸ σαφές; Ὁ προηγουῦται τῶ λόγων. Εἰ δ᾽ ἔπε εὑρεθῶσιν ἐπιφερόμενοι, καθ᾽ ὑπερβατὸν τρόπον ἐπιφέρονται. καὶ ὁ μὲν ἀπορρηματικὸς ἆρα περισπᾶται, ὁ δὲ συλλογιστικὸς παροξύνεται.

δ. Πόθεν ἔλαβον τὴν ὀνομασίαν τὰ εἴδη τῶ Συνδέσμων;

μ. Ἀπὸ τῆς σημασίας ἣν δηλοῦσιν ἕκαστοι· οἷον Συμπλεκτικοὶ μὲν, ἀπὸ τοῦ συμπλέκειν· Συναπτικοὶ δὲ, ἀπὸ τοῦ συνάπτειν, καὶ οἱ ἑξῆς ὁμοίως.

δ. Οἱ δὲ Παραπληρωματικοὶ, ὁποίας σημασίας ἔχουσι;

μ. Διαφόρους· σημαίνουσι γὰρ ἐναντίωσίν τε, ὡς ὁ Περ, οἷον Μὴ δ᾽ οὕτως ἀγαθός περ ἐὼν, Θεοείκελ᾽ Ἀχιλλεῦ, κλέπτε νόῳ. Καὶ μετάβασιν, ἢ βεβαίωσιν, ὡς ὁ Δὴ, ὡς παρ᾽ Ἀειστοφάνει. Καὶ ταῦτα μὲν δὴ ταῦτα, τῷ δὲ λοξίᾳ. μετέβη γὰρ ἐφ᾽ ἕτερον. Οὗτοι μέντοι οὐκ ἀπὸ τῆς σημασίας ἐκλήθησαν, ἀλλ᾽ ἀπὸ τοῦ παραπληροῦν τὰς φράσεις τοῦ πράγματος. Λαμβάνομεν γὰρ τοὺς παραπληρωματικοὺς, ἢ μέτρου

παρα-

δ. Πόσα σημαινώμενα ἔχει ὁ Ἵνα σύνδεσμος;

μ. Δύο, αἰτίαν, καὶ ἀποτελεσμόν. αἰτίαν μὲν, οἷον κοπιῶ, ἵνα σωθῶ. ἀποτελεσμὸν δὲ, οἷον ἵνα λαλήσω, ἐταράχθην.

δ. Πόσα δὲ ὁ Ὅπως;

μ. Ἓν, ἀποτελεσμόν. τοιοῦτος καὶ ὁ Ὄφρα· ὁμοιόσημος γάρ ἐστι τῷ Ὅπως, ποιητικὸς δὲ ὑπάρχει.

δ. Ὁ δὲ Ἐὰν τί σημαίνει;

μ. Δισταγμὸν, οἷον ἐὰν ὑγιάνω, πορεύομαι.

δ. Ποῦ δὲ ὁ αἰτιολογικὸς Γὰρ σύνδεσμος τάττεται;

μ. Μετὰ τὴν ἀρχὴν τοῦ λόγου, καὶ παντὶ μέρει λόγου ὑποτάσσεται, μετὰ μίαν, ἢ δύο λέξεις τῆς ἀρχῆς, οἷον Εἰ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην. Οὐδὲ γὰρ Δρύαντος υἱὸς καρτερὸς Λυκόεργος.

δ. Τοῖς δὲ Συλλογιστικοῖς ποῦ χρώμεθα;

μ. Πρὸς τὰ συμπεράσματα τῶν συλλογισμῶν, καὶ πρὸς τὰς ἐπιφορὰς τῶν ἀποδείξεων, καὶ πρὸς τὰς βεβαιώσεις τῶν προδιηγηθέντων· οἷον πᾶν ζῶον ἐστὶν οὐσία, ἀλλὰ μὴν ὁ ἄνθρωπος ἐστὶ ζῶον, ἄρα ὁ ἄνθρωπος ἐστὶν οὐσία. Ἡμαρτηκότος τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ Σεδεκίου τοῦ βασιλέως ἐπιορκήσαντος, ὠργίσθη αὐτοῖς ὁ Κύριος. Τοίνυν ὁ Ναβουχοδονόσορ τὴν Πόλιν καθεῖλε, καὶ τὸν Θεῖον Ναὸν ἐνέπρησε, καὶ τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ ᾐχμαλώτισε· καὶ Σεδεκίαν τυφλώσας, δέσμιον ἀπήγαγε, καὶ μετῴ-

δε καὶ ἀνδρῶν. καὶ ἔμπαλιν. Οὐ γὰρ τοίους εἶδον ἀνέρας, οὐδὲ ἴδομαι, οἷον Πειρίθοον, Δρύαντά τε ποιμένα λαῶν. ὡς καὶ περὶ τοῦ Ἀχιλλέως ἔφην ἀνωτέρω· Οἷος ὁ Ἀχιλλεὺς, τοιοῦτός ἐστιν ὁ Αἴας· ἐπαναφέρω γὰρ τὴν μνήμην τοῦ ἀκροατοῦ ἐπὶ τὸν προεγνωσμένον Ἀχιλλέα. ἀναφορικὸν γάρ ἐστι, προεγνωσμένου τινὸς ἀνάπολυσις. Τὰ τοιαῦτα δὲ καὶ Ὁμοιωματικὰ λέγονται, ὅτι διαὐτῶν ποιούμεθα τὴν ὁμοίωσιν· οὐ μὴν ἀλλὰ καὶ δεικτικὰ, ὅτι διαὐτῶν πολλάκις δακτυλοδεικτοῦμεν, ὁρῶντες τὰ ὁμοιούμενα.

**δ.** Διατὶ λέγονται Ἀνταποδοτικά.

**μ.** Ὅτι τὰ προηγούμενα ἀλλήλων καὶ ἐπαγόμενα, πρὸς ἄλληλα ἀνταποδίδονται. Λαμβάνονται δὲ καὶ χωρὶς ἀναφορικῶν ἀπολύτως ἐνίοτε τὰ ἀνταποδοτικὰ, οἷον τοίην κεφαλὴν ποθέω. Καὶ τὰ ἀναφορικὰ ὡσαύτως χωρὶς τῶν ἀνταποδοτικῶν, οἷον συμφορῶν πεπείραται οἵων οὐδείς. καὶ σοφοῖς ἐνέτυχεν οἵοις οὐδείς. καὶ πολέμους διήνυσεν ὅσους οὐδείς.

**δ.** Οἱ δὲ Αἰτιολογικοὶ ἐποίας ποιοῦσι τὰς συντάξεις;

**μ.** Καὶ αὐτοὶ ὀρθάς τε καὶ ἀντεστραμμένας, καὶ τὰ ὑποτακτικὰ παρασκευάζουσι ῥήματα. ὀρθὰς μὲν, οἷον ἐὰν μάθω, ὠφελοῦμαι, ἀντεστραμμένας δὲ, οἷον ὠφελοῦμαι, ἐὰν μάθω.

δ. Πό-

οἷον Τοιοῦτός ἐστιν ὁ Αἴας, οἷος ὁ Ἀχιλλεύς. καὶ ἐν τοῖς Ἀναφορικοῖς Ἐπιῤῥήμασιν ὡσαύτως, οἷον Ὅτε ὄρθρος ἀνέτειλε, τότε ὄμβρος ῥαγδαῖος ἐγένετο· αὕτη μὲν ὀρθή. ἀντεστραμμένη δὲ αὕτη· Τότε ὄμβρος ῥαγδαῖος ἐγένετο, ὅτε ὄρθρος ἀνέτειλε. Τὸ αὐτὸ καὶ ἐν τοῖς Παραβολικοῖς Ἐπιῤῥήμασι καθίσαται. ὀρθῶς μὲν· Ὥσπερ ὁ αἰσθητὸς Ἥλιος φωτίζει τὰς τοῦ σώματος ὄψεις, οὕτως ὁ νοητὸς Ἥλιος τοὺς νοερὰς τῆς ψυχῆς ὀφθαλμοὺς καταυγάζει. Ἀντεστραμμένως δὲ, Οὕτως ὁ νοητὸς Ἥλιος τοὺς νοερὰς τῆς ψυχῆς ὀφθαλμοὺς καταυγάζει, ὥσπερ ὁ αἰσθητὸς Ἥλιος, φωτίζει τὰς τοῦ σώματος ὄψεις.

δ. Ποῖά εἰσι τὰ Ἀνταποδοτικά;

μ. Τὰ ἔχοντα τὸ τ ἀρκτικὸν, οἷον τοιοῦτος, τηλίκος, τόσος, τότε. ἃ καὶ Ἄρθροις συντάσσεται, οἷον ὁ τοιοῦτος, ὁ τηλικοῦτος, ὁ τόσος.

δ. Ποῖα δὲ τὰ Ἀναφορικά.

μ. Τὰ ἀπὸ φωνήεντος ἀρχόμενα, οἷον οἷος, ἡλίκος, ὅσος, ὅτε. ταῦτα δὲ οὐ συντάσσεται Ἄρθροις· οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ ὁ ὅσος.

δ. Διατὶ λέγονται Ἀναφορικά;

μ. Ὅτι δι' αὐτῶν τὴν τῶν ἀκροωμένων διάνοιαν ἀναφέρομεν ἐπὶ τὰ προεγνωσμένα πράγματα, οἷον Αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην. καὶ ἀνάπαλιν. Ἀλλ' οὐ τόσοι ἦσαν, ὅσοι ἑλίκωπες Ἀχαιοί. καὶ Οἵηπερ φύλλων γενεὴ, τοιήδε

ασᾶται δὲ καὶ δασιώνεται. καὶ ἀντὶ τοῦ πάνπως ψιλέμενος καὶ πειρασώμενος. οἷον ἦκεν γηθῆσαι Πρίαμος.

δ. Οἱ δὲ Συναπτικοὶ ὁποίας ἐννοίας συνάπτουσιν;

μ. Ἀτελεῖς, διὸ καὶ ἀκολουθίαν εἰς ἀναπλήρωσιν διανοίας ἀπηρτισμένης ἀπαιτοῦσιν.

δ. Ὁποίας δὲ συντάξεις ποιοῦσιν;

μ. Ὀρθάς τε καὶ ἀντεστραμμένας.

δ. Πότε τὰς συντάξεις ὀρθὰς ἀποτελοῦσιν;

μ. Ὅτε προηγοῦνται, οἷον Εἴπερ γάρτε χόλονγε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλάγε καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ, ἐν στήθεσσιν ἑοῖσιν.

δ. Πότε δὲ ἀντεστραμμένας;

μ. Ὅταν ἐπάγωνται. οἷον Ἦκεν γηθῆσαι Πρίαμος Πριάμοιότε παῖδες. ἄλλοιτε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ, εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν. Δέον δ' ἦν, Εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν, ἦκεν γηθῆσαι Πρίαμος, Πριάμοιότε παῖδες, ἄλλοιτε Τρῶες. μέγα κεν κεχαροίατο θυμῷ. Ὁμοίως καὶ οἱ παρασυναπτικοὶ τὰς αὐτὰς συντάξεις ποιοῦσιν. Ἔτι δὲ καὶ τὰ Ἀναφορικὰ, καὶ τὰ τῆς Παραβολῆς, ἢ Ὁμοιώσεως Ἐπιρρήματα ποιοῦσιν ἀντεστραμμένας, καὶ ὀρθὰς συντάξεις. ἐν γὰρ τοῖς ἀναφορικοῖς ὀνόμασιν ἐπιφερομένων μὲν τῶν ἀνταποδόσεων, αἱ συντάξεις ὀρθαὶ γίνονται, οἷον Οἷος ὁ Ἀχιλλεὺς, τοιοῦτος ἐστὶν ὁ Αἴας. Προηγουμένων δὲ, ἀντεστραμμέναι

μ. Ὁ μεθ᾽ ὑπερωτήσεως, καὶ ἀπορίας λεγόμενος, μὴ οὔσης τῆς συντάξεως διαζευκτικῆς, οἷον Ἤ ἔτι Μυρμιδόνεσσι πιφάσκεαι, ἤ ἐμοὶ αὐτῷ; ἤ ἔτιν᾽ ἀγγελίην φθίης ἐξέκλυες οἶος; ἤ ἐσύγ᾽ Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται ;

δ. Ποῖος δὲ ὁ Διαβεβαιωτικός;

μ. Ὁ καὶ μεθ᾽ ὑπερωτήσεως πολλάκις παραλαμβανόμενος, οἷον Τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ᾽ ἀγείρας Ἀτρείδης; ἤ οὐχ Ἑλένης ἕνεκ᾽ ἠϋκόμοιο; Χωρὶς δὲ δὲ ὑπερωτήσεως, οἷον Ἤ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός. ἤ μάλ᾽ ἐλαφρὸς ἀνὴρ ὃς ῥεῖα κυβιστᾷ. ἤδη λοίγι᾽ ἔργα τάδ᾽ ἔσσεται. Ἔστι δ᾽ ὅτε καὶ τῷ Ἐπεὶ ὑποτάσσεται, οἷον Ἐπεὶ ἤ μάλα πολὺ μεταξύ. Ὅτε δὲ συντεθεῖ μετὰ τοῦ πύσματος, ἐγκλίνεται· οἷον Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; καὶ Ἀλλὰ τίη ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;

δ. Ποῖος δὲ ὁ Διασαφητικός;

μ. Ὁ διασαφῶν τὸ ἕτερον τῶν προτεθέντων πραγμάτων ὃ αἱρεῖται, οἷον κρεῖσσον ἐν γῇ πένεσθαι, ἤ πλουτοῦντα πλεῖν. Καὶ παρὰ τῷ Ποιητῇ, Βούλομ᾽ ἐγὼ λαὸν σῶον ἔμμεναι, ἤ ἀπολέσθαι. καὶ Θέλω τύχης σταλαγμὸν, ἤ φρενῶν πίθον. Ῥανὶς φρενῶν μοι μᾶλλον, ἤ βυθὸς τύχης;

δ. Λαμβάνεται ὁ Ἤ Σύνδεσμος καὶ ἀντὶ Ἐπιῤῥήματος, καθάπερ καὶ ὁ Ἤτοι;

μ. Ἔγωγε, οἷον ἤ θέμις ἐστὶν ἀντὶ τοῦ καθώς, περ-

 σπᾶται

δ. Ὁ δὲ Ἤτοι σύνδεσμος διαζευκτικός ἐστιν, ἢ συμπλεκτικός;

μ. Ἀμφότερα, κοινῶς μὲν λαμβανόμενος, ἢ διαζευκτικὸς γίνεται, καὶ τοῦ η προτάττεται· οὕτω γὰρ φαμὲν, ἤτοι τόδε, ἢ τόδε. ἢ ἐπίρρημα ἐξηγηματικὸν, ἀντὶ τοῦ ἤγουν. ποιητικῶς δὲ ἀντὶ τοῦ Μὲν συμπλεκτικὸς εὑρίσκεται, καὶ ἐν ταῖς ἀρχαῖς τῶν λόγων τάσσεται, ὡς παρὰ τῷ Ποιητῇ, Ἤτοι ὅγ' ὡς εἰπὼν, κατ' ἄρ ἕζετο, τοῖσι δ' ἀνέστη. ἡ γὰρ μετάφρασις τοῦδε τοῦ στίχου τοιάδε ἐστίν· Οὗτος μὲν οὕτως εἰπὼν, ἐκαθέζετο· ἐν τούτοις δ' ἀνέστη. Ὥστε ἐντεῦθεν δῆλον, ὅτι ὁ Ἤτοι, ἀντὶ τοῦ Μὲν παραλαμβάνεται ἐν τῇ ποιήσει.

δ. Ποσαχῶς λέγεται ὁ Ἢ σύνδεσμος;

μ. Πενταχῶς, διαζευκτικὸς, παραδιαζευκτικὸς, διαπορητικὸς, διαβεβαιωτικὸς, καὶ διασαφητικὸς, ὁ καὶ διακριτικὸς, εἴτ' οὖν ἐπιλεκτικὸς λεγόμενος παρὰ Λασκάρει τῷ Βυζαντίῳ.

δ. Ποῖος ἐστὶν ὁ διαζευκτικός;

μ. Ὁ τὰ ἐναντία τῇ συντάξει διϊστῶν, οἷον ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ· ἢ φῶς, ἢ σκότος.

δ. Ποῖος δὲ ὁ παραδιαζευκτικός.

μ. Ὁ πράγματα διαζευγνύων, ἀλλήλοις συνεφιστάμενα, ὧν, ἢ τὸ ἓν αἱρούμεθα, ἢ τὸ ἕτερον, ἢ καὶ ἀμφότερα· οἷον δώς μοι χρυσὸν, ἢ ἄργυρον. καὶ ἢ νέος ἠὲ παλαιὸς, παρ' Ὁμήρῳ.

δ. Ποῖος δὲ ὁ διαπορητικός;

μ. Ὁ

χαῖς τῶ λόγων τάσσονται· οἷον Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο. Ἀτὰρ καλλίτειχας ἵππους λύσαθ' ὑπ' ὀξοχέων, παρὰ δὲ σφίσι βάλλετ' ἐδωδήν.

δ. Ὁ δὲ Ἀλλὰ, ποῦ;

μ. Ἐν ταῖς ἀρχαῖς τῶ δευτέρων λόγων· οἷον Τυδεύς τοι, μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.

δ. Ὁ δὲ, ἠμὲν, ἠδὲ, ἰδὲ, οἱ ποιητικοὶ ποῦ;

μ. Ἐν ταῖς ἀρχαῖς τῶν λόγον· ἀλλ' ὁ μὲν, ἠμὲν, ἐν τοῖς πρώτοις, οἱ δὲ ἄλλοι ἐν τοῖς δευτέροις λόγοις· οἷον Ἡ μὲν ὅσοι ναίουσιν οὐρανὸν ἀστερόεντα. ἠδὲ ὅποι κληρώσαντο χθόνα πολυβότειραν.

δ. Ποῦ δὲ τοῖς Διαζευκτικοῖς χρώμεθα συνδέσμοις;

μ. Ἐν ταῖς διεζευγμέναις συντάξεσιν, ἃς δὴ συντίθεμεν· διαζευγνῦντες μὲν ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου, τὴν δὲ φράσιν ἐπισυνδέοντες. Προσώπων μὲν οὖν διαζευγνυμένων, τὸ ἓν παραλαμβάνεται, καὶ τὸ ἕτερον καταλιμπάνεται· οἷον Εἴς δέ τις ἀνὴρ βουληφόρος ἔστω, ἢ Αἴας, ἢ Ἰδομενεύς, ἢ δῖος Ὀδυσσεύς, ἢ ἐσὺ Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν. Πραγμάτων δὲ, θάτερον μένει, τὸ δὲ ἕτερον ἀναιρεῖται· θέλουσι γὰρ ἐναντία εἶναι ἀλλήλοις μὴ συνιστάμενα· οἷον Αἰδὼς Ἀργεῖοι, νῦν ἄρκιον, ἢ ἀπολέσθαι, ἢ ἐ σαωθῆναι, καὶ ἀπώσασθαι κακὰ νηῶν. Καὶ ἢ νόσος ἐστὶν, ἢ ὑγίεια. ἢ ζωὴ, ἢ θάνατος. ἢ χαρὰ, ἢ λύπη.

κλισιν τὴν αὐτὴν, καὶ πρόσωπον προσώπῳ τῷ αὐτῷ.

δ. Τὶ συμπλέκομεν διὰ τῶν Συμπλεκτικῶν Συνδέσμων;

μ. Τοὺς λόγους ἐπὶ πολὺ ἐκφερομένους.

δ. Ποῖοι τούτων μᾶλλον συμπλεκτικοί;

μ. Ὁ Καὶ, καὶ ὁ Τε· οἷον ὁ καλός τε καὶ σπουδαῖος Ἀλέξανδρος, Νικόλαός τε ὁ καλλιγράφος, καὶ Ἰωάννης ὁ ταχυγράφος. ὧν ὁ μὲν Καὶ, προτίθεται τῶν λέξεων, ὁ δὲ Τε τῶν αὐτῶν ἐπιφέρεται· πρὸς ἀλλήλους ὅμως ἀνάπαλιν ἔχουσιν· ὁ γὰρ Καὶ ἕπεται τῷ Τε.

δ. Ὁ δὲ Μὲν, πῶς τίθεται;

μ. Ἐν τοῖς πρώτοις λόγοις, οὐκ ἐν τῇ ἀρχῇ, ἀλλὰ μετὰ τὴν ἀρχήν· οἷον Ἄλλοι μὲν ῥα Θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ εὗδον παννύχιοι.

δ. Καὶ ὁ Δὲ, πῶς;

μ. Ἐν τοῖς δευτέροις λόγοις, οὐκ ἐν τῇ ἀρχῇ μέντοι τοῦ λόγου, ἀλλὰ μετὰ τὴν ἀρχὴν, ἐπακολουθῶν τῷ Μὲν, οἷον Δία δ' οὐκ ἔχεν ἥδυμος ὕπνος.

δ. Πῶς καλεῖται ὁ Δὲ;

μ. Ἐπακολουθητικὸς, διὰ τὸ ἐπακολουθεῖν τῷ Μὲν· καὶ μεταβατικὸς, ἐπειδὴ αὐτῷ ποιούμεθα μεταβάσεις νοημάτων τε, καὶ διηγημάτων· οἷον Ἀλλὰ ταῦτα μὲν οὕτως, ἐπανέλθωμεν δὲ ὅθεν ἐξήλθομεν.

δ. Ποῖοι τῶν Συμπλεκτικῶν ἰσοδυναμοῦσιν αὐτῷ;

μ. Ὁ ἀτὰρ, καὶ ὁ αὐτὰρ οἱ ποιητικοὶ, ἀλλ' ἐν ταῖς ἀρ-

χαῖς

οἷον ἡ ὑφ' ἥλιον, τῆς ὑφ' ἥλιον. καὶ ὑφ' ἡλίῳ, τῆς ὑφ' ἡλίῳ. ἡ ὑπ' οὐρανὸν, τῆς ὑπ' οὐρανόν. ἡ ὑπ' οὐρανῷ, τῆς ὑπ' οὐρανῷ. καὶ μέχρι τῶν πληθυντικῶν, μενούσης τῆς Προθέσεως μετὰ Αἰτιατικῆς, ἢ Δοτικῆς ἀμετακινήτου. Σημαίνομεν δὲ ἐν τῷ λέγειν θηλυκῶς, ἡ ὑφ' ἡλίῳ, καὶ ἡ ὑφ' ἥλιον· ἢ ὑπ' οὐρανῷ, καὶ ἡ ὑπ' οὐρανὸν, τὴν ὑποκάτω τοῦ ἡλίου, καὶ οὐρανοῦ κτίσιν. Καὶ πάλιν ἐν τῷ λέγειν ἀρσενικῶς, οἱ ὑφ' ἥλιον, καὶ οἱ ὑφ' ἡλίῳ· καὶ οἱ ὑπ' οὐρανὸν, καὶ οἱ ὑπ' οὐρανῷ· καὶ οἱ ὑπὸ γῆν, καὶ οἱ ὑπὸ γῇ, δηλοῦμεν τοὺς ὑποκάτω τοῦ οὐρανοῦ, καὶ ὑποκάτω τῆς γῆς ἀνθρώπους. Καὶ πολλὴ ἡ τοιαύτη ἐν τοῖς ποιήμασί τε καὶ συγγράμμασι χρῆσις.

## Τεχνολογία Ο'. τῆς τῶν Συνδέσμων συντάξεως.

ἐ. Πῶς χρώμεθα τοῖς Συνδέσμοις;

ἀ. Ἐν ταῖς συμπλοκαῖς τῶν ἄλλων ἑπτὰ μερῶν, καὶ συνθέσεσι τῶν λόγων, ὥσπερ ἀλλήλας συνδέομεν κατὰ τὴν τεχνικὴν, καὶ κατάλληλον τάξιν, καὶ τὴν ἀκόλουθον τῶν ποιημάτων ἁρμονίαν· οἱ γὰρ σύνδεσμοι ἀεὶ τὰ ὅμοια συνάπτουσιν, οἷον ὄνομα ὀνόματι, καὶ εὐθεία πτώσει εὐθεῖαν, καὶ γενικῇ γενικὴν, καὶ ῥῆμα ῥήματι, καὶ χρόνῳ χρόνον τὸν αὐτὸν, καὶ ἐγκλίσει ἔγκλισιν

οἴκαδε. καὶ ἀπὸ τοῦ οὐρανοῦ, οὐρανόθεν, οὐρανόσε.

δ. Παράγονται κατὰ τῶν Ἐπιῤῥημάτων ἐπιῤῥήματα, καὶ ὀνόματα;

μ. Ἔγωγε, συγκριτικά τε καὶ ὑπερθετικά. Ἐπιῤῥήματα μὲν, οἷον ἀπὸ τοῦ ἄνω, ἀνωτέρω, καὶ ἀνωτάτω. καὶ ἀπὸ τοῦ κάτω, κατωτέρω, καὶ κατωτάτω. καὶ ἀπὸ τοῦ πόῤῥω, ποῤῥωτέρω, καὶ ποῤῥωτάτω. Ὀνόματα δὲ, οἷον ἀνώτερος, ἀνώτατος. ποῤῥώτερος, ποῤῥώτατος. καὶ ἐκ τοῦ ἐγγὺς, ἐπίῤῥημα μὲν ἐγγυτέρως, ὄνομα δὲ ἐγγύτερος, ἐγγύτατος, καὶ ἔγγιστος.

δ. Ποῖα τῶν Ἄρθρων συντάσσονται τοῖς Ἐπιῤῥήμασι;

μ. Τὰ προτακτικὰ τῶν τειῶν γενῶν, καὶ ἀναπληροῦσι χώραν Ἐπιθέτων ὀνομάτων, φυλαττομένης καὶ τῆς ἀκλίτου φυσικῆς ἐπιῤῥηματικῆς ἰδιότητος· οἷον ὁ πάλαι, τοῦ πάλαι, τῷ πάλαι, τὸν πάλαι. καὶ πληθυντικῶς, οἱ πάλαι, τῶν πάλαι, τοῖς πάλαι, τοὺς πάλαι. καὶ ἐπὶ Θηλυκῶν, ἡ πάλαι, τῆς πάλαι, καὶ καθεξῆς. καὶ ἐπὶ Οὐδετέρων, τὸ πάλαι, τοῦ πάλαι, μέχρι καὶ τῶν πληθυντικῶν, ὡς εἴρηται τῶν τειῶν γενῶν. Καὶ πάλιν, Ὁ πλησίον, τοῦ πλησίον, τῷ πλησίον, τὸν πλησίον. Ἡ πλησίον, τῆς πλησίον. Τὸ πλησίον, τοῦ πλησίου. Ὁ πέλας, ἡ πέλας, τὸ πέλας. Ὁ ἔγγιστα, ἡ ἔγγιστα, τὸ ἔγγιστα. οἱ ἔγγιστα, αἱ ἔγγιστα. Ὁ πάνυ, τοῦ πάνυ. καὶ ἡ πάνυ, τῆς πάνυ. Ὁ ἄνω, καὶ ἡ ἄνω. καὶ ὁ ἀνωτάτω, καὶ ἡ ἀνωτάτω. Τοιαῦτά εἰσι καὶ τὰ μετὰ Προθέσεως, καὶ Δοτικῆς, ἢ Αἰτιατικῆς πτώσεως,

οἷον

μ. Πᾶσι.

δ. Ποσαχῶς δὲ συντάσσονται ταῦτα;

μ. Διχῶς, τὰ μὲν πρὸς ῥήματα μόνον τάττονται, οἷον χαμαὶ κεῖται, χαμόθεν παρήχθη, οἴκοι κάθηται, οἴκαδε πορεύεται, οἴκοθεν ἔρχεται. Τὰ δὲ πρὸς ῥήματά τε, καὶ πρὸς πτωτικὰ μέρη· οἷον ἄνωθεν τούτων ἵδρυται, κάτωθεν τούτων κέκρυπται. ὄπισθεν, ἔμπροσθεν, καὶ ὀπίσω, καὶ πρόσω τῶ δε, καὶ ἀνώτερον τούτου, καὶ ἀνωτάτω τῶ δε.

δ. Ποσαπλᾶ εἰσι τὰ Τοπικὰ ἐπιρρήματα;

μ. Διττὰ, τὰ μὲν θεματικὰ, ὡς τὸ ἀγχοῦ, ἐγγὺς, χαμαί· τὰ δὲ ἀπὸ Προθέσεών τε καὶ Ὀνομάτων. ἀπὸ Προθέσεων μὲν, ὡς ἀπὸ τῆς ἀνὰ, ἄνω· καὶ ἀπὸ τῆς κατὰ, κάτω· καὶ ἐκ τῆς παρὰ, πάρεξ· καὶ ἐκ τῆς περὶ, πέριξ· καὶ ἐκ τῆς ἀπὸ, ἄπο· καὶ ἐκ τῆς ἐπὶ, ὀπίσω, κατὰ τροπὴν τοῦ ε εἰς ο, καὶ κατὰ πλεονασμὸν τῆς σω συλλαβῆς. καὶ ἐκ τῆς πρὸς, πρόσω· καὶ ἐκ τῆς εἰς, εἴσω· καὶ τῆς ἐς, ἔσω· καὶ τῆς ἐξ, ἔξω· καὶ τῆς ἐκ, ἐκτὸς· καὶ τῆς ἐν, ἔνδον, καὶ ἐντὸς. Τὸ Ἔμπροσθεν δὲ, γέγονεν ἀπὸ τοῦ πρόσω πρόσωθεν, καὶ ἐν συγκοπῇ πρόσθεν, καὶ μετὰ τῆς ἐν προθέσεως ἔμπροσθεν· ὡς ἀπὸ τοῦ ὀπίσω, ὀπίσωθεν, καὶ κατὰ συγκοπὴν ὄπισθεν. Ἀπὸ Ὀνομάτων δὲ, καὶ τοπικὴν σημαίνοντα ἔννοιαν εἰσὶ ταῦτα· οἷον ἀπὸ τῆς θύρας Γενικῆς, τὸ θύραθεν. ἐκ τῆς θύρᾳ δὲ Δοτικῆς, τὸ θύραθι. καὶ ἐκ τῆς θύρας Αἰτιατικῆς πληθυντικῆς, τὸ θύραζε. καὶ ἀπὸ τοῦ οἴκου, οἴκοθεν, οἴκοι, οἴκαδε.

καὶ τὸ Ποῦ τὰ ἐρωτηματικά;

μ. Τῷ ἕως, τῷ μέχρι, καὶ ἄχρι, τοῖς χρονικοῖς· οἷον ἕως πότε, μέχρι πῦ, ἄχρι πῦ.

δ. Τὰ δὲ Ἐπιτάσεως ποίοις συντάσσονται ῥήμασι;

μ. Πᾶσι, καταλεγόμενά τε, καὶ ἐπιλεγόμενα· οἷον λίαν φιλῶ. φιλῶ λίαν.

δ. Συντάσσονται καὶ ὀνόμασι ταῦτα;

μ. Ἔγωγε, τοῖς ἐπιθέτοις, καὶ ἀναπληρῦσι τὴν τῶν ὑπερθετικῶν χρείαν· οἷον ἄγαν σοφός· λίαν τίμιος. Ἔτι δὲ καὶ Ἄρθροις, οἷον ὁ πάνυ καλός· ὁ σφόδρα κακός.

δ. Τὰ δὲ Βεβαιώσεως ποίοις;

μ. Τοῖς ὁριστικοῖς, οἷον δηλαδὴ τῦτο κέκειται.

δ. Τὰ δὲ Θειασμῦ ποίοις;

μ. Τοῖς εὐκτικοῖς.

δ. Τὰ δὲ Τάξεως ποίοις;

μ. Πᾶσιν, οἷον ἐφεξῆς βαδίζυσιν.

δ. Τὰ δὲ Θαυμασμῦ, καὶ σχετλιαστικά, τίνι συντάσσονται πτώσει;

μ. Γενικῇ, οἷον βαβαὶ τῶν σῶν μυστηρίων ἁγνή. φεῦ τῆς ἐμῆς ἀσθενείας.

δ. Τὰ δὲ Θετικά, τίνι;

μ. Δοτικῇ, καὶ Αἰτιατικῇ, οἷον γραπτέον ὑμῖν, καὶ γραπτέον ἡμᾶς. ἔσθ᾽ ὅτε δὲ καὶ χωρὶς ἐπιφορᾶς πτώσεως λέγονται ἀπολύτως· οἷον ἰστέον, ἀντὶ τῦ δεῖ εἰδέναι.

δ. Τὰ δὲ Τόπυ ποίοις συντάσσονται ῥήμασι;

μ. Πᾶ-

δεῖνος, ἀντὶ τοῦ σοφώτερος. Ὡσαύτως καὶ μετὰ ὑπερθετικῶν ἐπιρρημάτων Θετικὰ τάττοντες ὀνόματα, μάλιστα πάντων σοφὸς λέγουσιν, ἀντὶ τοῦ σοφώτατος. Καὶ τὰς εἰς ες εὐθείας, καὶ εἰς ας Αἰτιατικὰς ληγούσας, τῶν πληθυντικῶν συγκριτικῶν κοινῶν ὀνομάτων, εἰς ους περατοῦσιν· οἷον μείζους, χείρους, καλλίους, ἀντὶ τοῦ μείζονες, καὶ μείζονας· χείρονες, καὶ χείρονας· καλλίονες, καὶ καλλίονας· Τῶν δὲ οὐδετέρων τούτων τὰς αὐτὰς πτώσεις εἰς ω περατοῦσιν, οἷον μείζω, χείρω, καλλίω, ἀντὶ τοῦ μείζονα, χείρονα, καὶ καλλίωνα. Οὕτω καὶ ἄμφω, ἀντὶ τοῦ ἀμφοτέρω, ἀμφότεροι, ἀμφοτέρους, ἀμφότερα· καὶ ἀμφοῖν, ἀντὶ τοῦ ἀμφοτέροιν.

δ. Τὰ δὲ Ἐρωτήσεως, ποίοις συντάσσονται ῥήμασι;

μ. Τοῖς ὁριστικοῖς, οἷον πόθεν ἦλθες; ποῦ ὑπάγεις;

δ. Ποσαχῶς λαμβάνονται ταῦτα;

μ. Διχῶς, ὁτὲ μὲν ἐρωτηματικὰ, ὁτὲ δὲ ἀόριστα.

δ. Ὁποῖά εἰσι ταῦτα κατὰ τόνον;

μ. Τὰ μὲν ἐρωτηματικὰ παροξύτονα, οἷον πόθεν, πότε. πλὴν τοῦ ποῦ, καὶ πῶς, περισπωμένων ὄντων· τὰ δὲ ἀόριστα ὀξύτονα, οἷον ποθὸν, ποτέ.

δ. Ποῖα τούτων ἐγκλίνονται;

μ. Τὰ ἀόριστα, οἷον ἦλθέ ποθεν· σοφός ποτε· ἐδίδαξέ πως· ἐγένετό που· ἦλθέ ποθι.

δ. Ποίοις τῶν ἐπιρρημάτων ὑποτάσσονται τὸ Πότε,

καὶ

κῶν ὐδετέρων ὀνομάτων εὐθεῖαι, ἀντὶ ἐπιῤῥημάτων;

μ. Ἔγωγε· ἀπὸ μὲν Συγκριτικῶν, οἷον ὁ Ἰωάννης ἔδραμε τάχιον τοῦ Πέτρου· καὶ σοφώτερον πάντων αὐτῶν ἐλάλησεν. ἀπὸ δὲ Ὑπερθετικῶν, οἷον ὑψηλότατα τῶν ἄλλων εἶπε.

δ. Συντάσσονται ταῦτα καὶ ἀπολύτως ἄνευ Γενικῶν;

μ. Ἔγωγε, οἷον ἄμεινον φρονῶ, ταχύτερον ἐλθὲ, βέλτερον μάθοιμι.

δ. Τίνι τρόπῳ τὰ Συγκειτικὰ ὀνόματα οἱ Ἀττικοὶ παραλαμβάνουσιν;

μ. Ὁτὲ μὲν ἀντὶ Θετικῶν Συγκειτικὰ, ὡς παρὰ Φιλοστράτῳ, πλειόνων ζωγράφων, ἀντὶ τοῦ πολλῶν. Καὶ παρὰ τῷ Θεολόγῳ, ἐν τῷ εἰς τὴν τοῦ Χριστοῦ γένεσιν Λόγῳ, Καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ, οὕτω καὶ ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα, ἀντὶ τῶν χρηστῶν, καὶ χρηστά. ἀπὸ γὰρ τῶν χρηστῶν ἦλθε τὰ λυπηρὰ, καὶ ἀπὸ τῶν λυπηρῶν τὰ χρηστά. Ὁτὲ δὲ Θετικὰ, ἀντὶ Συγκριτικῶν, ὡς τὸ, Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ᾽ ἄνθρωπον. ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ᾽ ἄρχουσιν, ἀντὶ τοῦ ἀγαθότερον. Ἄλλοτε δὲ Ὑπερθετικὰ ἀντὶ Συγκριτικῶν, οἷον Θηριωδέστατον πάντων, ἀντὶ τοῦ θηριωδέστερον πάντων. Καὶ πάλιν Θετικὰ μετὰ Συγκριτικῶν ἐπιῤῥημάτων τάττοντες, ἀντὶ Συγκριτικῶν ὀνομάτων τούτοις χρῶνται, οἷον ὁ δεῖνα μᾶλλον σοφὸς τοῦ δεῖνος,

κριτικοῖς ὀνόμασιν, οἷον ὁ Διομήδης κρείσσων ὑπάρχει, ἢ ὁ Σθένελος.

δ. Μετὰ τίνος πτώσεως τάττονται τὰ Συγκριτικὰ ὀνόματα;

μ. Μετὰ Γενικῆ, ἑνικῆς τε, καὶ πληθυντικῆς, οἷον ὁ Ἀχιλλεὺς ἦν ἀνδρειότερος τῦ Αἴαντος, καὶ ὁ Αἴας ἰσχυρώτερος τῶν Τρώων.

δ. Τὰ δὲ Ὑπερθετικὰ, μετὰ τίνος;

μ. Μετὰ Γενικῆς πληθυντικῆς μόνης· οἷον ὁ Ὅμηρος ἐγένετο σοφώτατος πάντων τῶν Ποιητῶν.

δ. Ποσαχῶς λαμβάνονται τὰ ἐπίθετα ὑδέτερα ὀνόματα;

μ. Τριχῶς, πῆ μὲν ὡς ἐπίθετα, ἔπαινον, ἢ ψόγον δηλοῦντα, ἐπὶ κυρίων, ἢ προσηγορικῶν τιθέμενα ὀνομάτων, οἷον εὐγενὲς παιδίον· βραδὺ ἱππάριον. Πῆ δὲ ὡς πραγμάτων σημαντικὰ, οἷον τὸ σοφὸν τῦ Πέτρου, ἀντὶ ἡ σοφία τοῦ Πέτρου· τὸ καρτερικὸν τοῦ Παύλου, ἀντὶ ἡ καρτερία τοῦ Παύλυ. τὸ ἀγαθὸν τοῦ Ἰωάννυ, ἀντὶ ἡ ἀγαθότης τοῦ Ἰωάννυ. Ποτὲ δὲ ἀντὶ Ἐπιρρημάτων αἱ τύτων εὐθεῖαι ἑνικαί τε καὶ πληθυντικαὶ λαμβάνονται. Ἑνικαὶ μὲν, οἷον ὀξὺ γράφεις, ἀντὶ τῦ ὀξέως γράφεις. καλὸν ποιεῖς, ἀντὶ τῦ καλῶς ποιεῖς. ἀληθὲς λέγεις, ἀντὶ τῦ ἀληθῶς λέγεις. Πληθυντικαὶ δὲ, οἷον καλὰ ἐβυλεύσω, ἀντὶ τῦ καλῶς ἐβυλεύσω.

δ. Λαμβάνονται καὶ ἐκ τῶν Συγκριτικῶν, καὶ Ὑπερθετικῶν

δ. Τί διαφέρει τὸ Ἅμα τοῦ Ὁμοῦ;

μ. Ὅτι τὸ μὲν Ἅμα χρονικὴν δηλοῖ συνάφειαν καὶ συνέλευσιν, οἷον ἅμα ἐγεννήθησαν, καὶ ἅμα ἐτράφησαν. τὸ δὲ Ὁμοῦ τοπικήν, οἷον ὁμοῦ οἰκοῦσιν, ὁμοῦ κάθηνται. ἐσθ᾽ ὅτε δὲ καὶ χρονικήν, οἷον Πόλις δ᾽ ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων παρὰ τῷ Σοφοκλεῖ. Τὸ Ἄμυδις δέ, ποιητικόν ἐστιν ὁμοιόσημον τῷ Ὁμοῦ.

δ. Τὰ δὲ Παρακελεύσεως, ποίοις;

μ. Τοῖς Προστακτικοῖς, καὶ Κλητικῇ πτώσει, οἷον Δεῦρο παρ᾽ ὀίθ᾽ ἐλθοῦσα φίλον τέκος ἵζευ ἐμοῖο. Πολλάκις δὲ καὶ πρὸς τὰ Ὑποτακτικὰ συντάσσονται, κατ᾽ ἔλλειψιν τῶν Αἰτιολογικῶν συνδέσμων· οἷον ἄγε εἴπωμεν, ἀντὶ τοῦ ἄγε ἵνα εἴπωμεν. καὶ Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, ἀντὶ τοῦ δεῦτε ἵνα ὑμνήσωμεν, καὶ ἵνα προσκυνήσωμεν. Λέγεται δὲ τὸ ἄγε, καὶ τὸ φέρε, καὶ ἄγετε, καὶ φέρετε. ὡς παρ᾽ Ὁμήρῳ· Ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες. Οὕτω καὶ τὸ ὄφελον, λέγεται καὶ ὄφελες, καὶ ὄφελε.

δ. Τὰ δὲ Συγκρίσεως, ποίοις;

μ. Παντοίοις, μετὰ Γενικῆς πτώσεως· οἷον ὁ Αἴας μᾶλλον τοῦ Ἰδομενέως ἔδραμεν. ὁ Σαρπηδὼν ἧττον τοῦ Τληπολέμου τέτρωται. καὶ μετ᾽ εὐθείας μεσολαβοῦντος τοῦ ἢ συνδέσμου· οἷον οὗτος μᾶλλον, ἢ ἐκεῖνος τρέχει. οὗτος ἧττον, ἢ ἐκεῖνος φιλοσοφεῖ. Τηρεῖται δὲ ἡ σύνταξις αὕτη καὶ ἐν τοῖς συγκρι-

ἐν ἀνδράσι διαλάμπει. καὶ ἀνάπαλιν. Οὕτως ὁ σπουδαῖος ἐν ἀνδράσι διαπρέπει, ὥσπερ ὁ Ἑωσφόρος ἐν ἄστρασι διαλάμπει. καὶ Ἠΰτε πέτρη ἠλίβατος μεγάλη πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα, ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα, κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν, ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο. καὶ πάλιν Ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθὼν, αἴγεσιν, ἢ οἴεσι κακὰ φρονέων ἐνορούσῃ, ὣς μὲν Θρήϊκας ἄνδρας ἐπῴχετο Τυδέος υἱός. Πολλάκις δὲ καὶ χωρὶς τῆς πρὸς ἄλληλα ἀνταποδόσεως παραλαμβάνονται, κατὰ τὴν τοῦ λόγου σύνταξιν, ὡς παρὰ τῇ Θείᾳ Γραφῇ· Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς.

δ. Τὰ δὲ Γχασμοῦ δηλωτικὰ, ποίοις;

μ. Τοῖς Ὁριστικοῖς πᾶσιν ἁπλῶς. τοῖς Εὐκτικοῖς δὲ, ἢ Ὑποτακτικοῖς συντασσόμενα, προσλαμβάνουσι τὸν ἂν σύνδεσμον· οἷον ἴσως ἂν ἔλθοιμι. ἴσως ἂν ἔλθω. εἰ δὲ χωρὶς τοῦ ἂν συνδέσμου συντάσσονται, κατ᾽ ἐλλειπτικὸν τρόπον ἡ σύνταξις ἔσται. τοῖς μέντοι Προστακτικοῖς οὐ συντάσσονται παντάπασιν. οὐδεὶς γὰρ ἐρεῖ, τάχα γράφε· οὐδὲ τυχὸν λέγε· οὐδὲ ἴσως τύπτε.

δ. Τὰ δὲ Ἀθροίσεως, ποίοις;

μ. Πᾶσι, προλεγόμενά τε καὶ ἐπιλεγόμενα, οἷον ἅμα πέτανται, πέτανται ἅμα.

εἰδόσιν, οὐ δεῖ πιστεύειν. Μετὰ δὲ τοῦ ἀστερητικοῦ κατ-τόμενον τὸ ἀρνητικὸν ου, ἀντὶ καταφάσεως λαμβάνεται, οἷον οὐκ ἀγνοῶ, ἀντὶ τοῦ γινώσκω. Τοιοῦτον καὶ τὸ, Ἀδελφοὶ, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων. τουτέστιν, Ἀδελφοὶ, θέλομεν ὑμᾶς οὐκ ἀγνοεῖν. Καὶ παρὰ τῷ Ποιητῇ, Οὐδ᾽ ἀπίθησε μύθῳ Ἀθηναίης, ἀντὶ τοῦ ἐπείθη.

δ. Πότε προσλαμβάνει κ τὸ ου;

μ. Ὅταν ἡ μετ᾽ αὐτὸ λέξις ἀπὸ φωνήεντος ἄρχηται ψιλουμένου, οἷον οὐκ ἔρχομαι, οὐκ ἐπορεύθη, οὐκ ἔστι.

δ. Πότε δὲ χ;

μ. Ὅταν ἡ μετ᾽ αὐτὸ λέξις ἀπὸ φωνήεντος ἄρχηται δασυνομένου, οἷον οὐχ ὁρᾷς, οὐχ ἡμεῖς. Καίτοι οὐκ ὀρθῶς τινες δοκοῦσι τὸ χ ἀπὸ τῆς οὐχὶ ἀποφάσεως εἶναι. τὸ γὰρ οὐχὶ τὸ ἑαυτοῦ ι οὐδέποτε ἀποβάλλει· ὅθεν καὶ ἀπόστροφος αὐτῷ οὐκ ἐπιτίθεται.

δ. Τὰ δὲ Ὁμοιώσεως ἐπιρρήματα, ποίοις;

μ. Τοῖς Ὁριστικοῖς. τὸ δὲ Ὥστε μετὰ Ἀπαρεμφάτου συντασσόμενον οὐκ ἔστιν ὁμοιώσεως, ἀλλ᾽ ἀποστάσεως.

δ. Πόσα δὲ ἔχουσιν ἀνταποδοτικὰ τὰ Ὁμοιώσεως ἐπιρρήματα;

μ. Δύο, τὸ οὕτως κοινῶς, καὶ τὸ ὣς ὀξυνόμενον ποιητικῶς. ἀλλήλων δὲ διαφόρως ἡγοῦνται, καὶ ἕπονται· τὰ μὲν ἐν ταῖς προτέραις συντάξεσιν ἀρχόμενα, τὰ δὲ ἐν ταῖς δευτέραις· οἷον ὥσπερ ὁ Ἑωσφόρος ἐν ἄστρασι διαπρέπει, οὕτως ὁ σπουδαῖος

ἐν αἰ-

ὡς παρὰ Συνεσίῳ, ὅτι μὴ ἐπ' ἀδίκοις ἐφιλονείκησε. Τὸ δὲ παρὰ Λουκιανῷ ἐν τῷ Ἐνυπνίῳ αὐτοῦ, Μὴ ὀνείρων τινῶν ἡμᾶς ὑποχεῖν τάς τινας ὑπείληφε; τὸ Μὴ, οὐκ ἔστιν ἀπαγορευτικὸν, ἀλλὰ Σύνδεσμος ἀπορρηματικός. Συντάσσεται δὲ καὶ εὐκτικοῖς Ἀορίστοις, ὡς παρὰ τῷ Φωκυλίδῃ, Μὴ μεγαληγορίῃ τρυφῶν φρένα λυσσωθείης· κατὰ ἀπέγκλισιν, ἀντὶ ὑποτακτικοῦ Ἀορίστου, Μὴ λυσσωθῇς. Οὐ μὴν ἀλλὰ καὶ Ἀπαρεμφάτοις, ὡς παρὰ τῷ αὐτῷ· Μήτε γαμοκλοπέειν, μήτ' ἄρσενα κύπριν ὀρίνειν· ἀντὶ προστακτικῶν, Μήτε γαμοκλόπει δηλαδὴ, μήτε ὄρινε.

δ. Ἐν τοῖς Παρακειμένοις δὲ τῶν Ὑποτακτικῶν, χρώμεθα τῷ Μὴ ἀπαγορευτικῷ συνδέσμῳ;

μ. Ἔγωγε.

δ. Ἐν ποίοις προσώποις τούτων;

μ. Ἐν τοῖς πρώτοις τῶν ἑνικῶν Παρακειμένων τε, καὶ Ἀορίστου· οὐ μὴν δὲ μόνῳ, ἀλλὰ μετὰ προσθήκης τοῦ Οὐ ἀρνητικοῦ Ἐπιρρήματος, οἷον οὐ μὴ τετύφω, καὶ οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν, οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν. Ἔστι δ' ὅτε κἀπὶ τῶν Μελλόντων ἁπλῶς μόνῳ τε καὶ μετὰ προσθήκης τοῦ Οὐ, οἷον παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ, Ὅπως μὴ σαυτὸν οἰκτιεῖς. καὶ παρὰ Συνεσίῳ, Οὐ μὴ ἐρεῖς, ὡς ἔλαθεν ἡμᾶς. Πολλάκις δὲ τὸ Οὐ, καὶ τὸ Μὴ ἐκ παραλλήλου τίθενται, ἤτοι ἀντὶ μιᾶς ἀρνήσεως· οἷον Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. καὶ Τοῖς μὴ οὐχὶ τὸν Θεὸν

 εἰδόσιν

μ. Τοῖς Προςακτικοῖς. Ἐνεςῶτι μὲν, οἷον Μὴ ποίει. Παρακειμένῳ δὲ, οἷον μὴ τέτυφε. Ἀορίςῳ δὲ τοῖς τρίτοις προσώποις μόνοις ἑνικοῖς τε καὶ πληθυντικοῖς. Ἑνικοῖς μὲν, οἷον Μήμε καταποντισάτω καταιγὶς ὕδατος, μὴ δὲ καταπιέτωμε βυθὸς, μὴ δὲ συχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ ςόμα αὐτοῦ. Πληθυντικοῖς δὲ, οἷον Μὴ δὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. καὶ Ἐν ἀνομίαις χεῖρας αὐτῶν μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες. Ἐν δὲ τοῖς Ὑποτακτικοῖς μετὰ τῶν δευτέρων προσώπων τῶν Ἀορίςων, ἑνικῶν, δυϊκῶν τε, καὶ πληθυντικῶν. Ἑνικῶν μὲν οἷον μὴ τύψῃς, μὴ τύπῃς, μὴ τυφθῇς, μὴ τύψῃ, μὴ τύπῃ. Δυϊκῶν δὲ, μὴ τύψητον, μὴ τύπητον, μὴ τυφθῆτον, μὴ τύψησθον, μὴ τύπησθον. Πληθυντικῶν δὲ μὴ τύψητε, μὴ τύπητε, μὴ τυφθῆτε, μὴ τύψησθε, μὴ τύπησθε. Τὸ δὲ παρὰ Σοφοκλεῖ, Μὴ δοκῶμεν πράττοντες· καὶ παρὰ Λιβανίῳ, Μήτε καλῶ, μήτε μεγάλω καλῶμεν ἔτι τήνδε τὴν πόλιν· ἤτοι ἐφ᾽ ἑαυτῶν τὴν ἀπαγόρευσιν ποιούμενοι, καὶ κατὰ τοῦτο μὴ δυνάμενοι Προςακτικοῖς χρῆσθαι, διὰ τὸ ἐν τοῖς Προςακτικοῖς ἐπὶ παντὸς ἀριθμοῦ πρῶτον πρόσωπον μὴ εὑρίσκεσθαι (οὐδεὶς γὰρ ἑαυτῷ προςάσσει) ἐξ ἀνάγκης Ὑποτακτικοῖς Ἐνεςῶσιν ἐχρήσαντο, εἰπόντες, Μὴ δοκῶμεν, καὶ μὴ καλῶμεν. Εἰ δέ που εὑρεθῇ τὸ μὴ ἀπαγορευτικὸν τοῖς Ὁριςικοῖς συντασσόμενον, ἀντὶ τοῦ ἀποφατικοῦ Οὐ λαμβάνεται,

ὡς

οἷον δίς, τρίς, τετράκις, δεκάκις, ἑκατοντάκις, χιλιάκις, μυριάκις. Τοῦτο μέντοι τὸ μυριάκις ἔστιν ὅτε καὶ ἀορίστως παραλαμβάνεται, καθάπερ καὶ τὸ ὄνομα ὅθεν παρῆκται, ὡς τό, Ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. οὐχ ὅτι μυρία κακά, ἃ πεπόνθασιν, ὁριστῶς ὁ Ποιητὴς εἴρηκε τοῦτο, ἀλλὰ πλῆθος ἀποφαινόμενος ἄπειρον καὶ ἀόριστον. Πλὴν δὲ καὶ ὁ τόνος διάφορον σημασίαν τῆς λέξεως ταύτης διαστέλλει. Ὅτε μὲν γὰρ τὸ μύρια προπαροξύνεται, δέκα χιλιάδων ἀριθμὸν ὡρισμένον δηλοῖ. ὅτε δὲ παροξύνεται, ἀόριστον δηλοῖ τὴν ποσότητα, οἷον μυρία.

ϛ. Τὰ δὲ Εὐχῆς σημαντικά, ποίοις;

μ. Τοῖς Εὐκτικοῖς μόνοις συντάσσεται ῥήμασιν, οἷον ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου. Αἴθ' ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην. Εἰ δὲ τὸ εἴθε, ἢ αἴθε προσλάβοι τὸ ὄφελον, τότε ἡ τοῦ λόγου σύνταξις μετὰ Ἀπαρεμφάτου συντάσσεται· οἷον Αἴθ' ὄφελες τ' ἄγαμός τ' ἔμμεναι, ἄγαμός τ' ἀπολέσθαι. Ὅτε δὲ μετὰ Ὁριστικοῦ συντάσσεται, ἀντὶ Εὐκτικοῦ λαμβάνεται κατὰ ἀντέγκλισιν· οἷον Εἴθε μὴ ὤμοσας Ἡρώδη ἄνομε, ἀντὶ τοῦ εἴθε μὴ ὠμόσαις.

ϛ. Τὰ δὲ Ἀρνήσεως, ποίοις;

μ. Τοῖς Ὁριστικοῖς, οἷον οὐκ ἔστι τοῦτο. καὶ τοῖς Εὐκτικοῖς, ὡς παρὰ Λουκιανῷ ἐν τοῖς Νεκρικοῖς Διαλόγοις· Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

ϛ. Τὰ δὲ Ἀπαγορεύσεως, ποίοις;

τὴν γραφὴν, καὶ τὸν τόνον ἀπηνέγκαντο.

δ. Ἐκ ποίων ὀνομάτων γίνονται τὰ Μεσότητος Ἐπιῤῥήματα;

μ. Ἐκ τῶν τριγενῶν, οἷον καλῶς, ἀπὸ τῶν καλῶν. καὶ σοφῶς, ἀπὸ τῶν σοφῶν.

δ. Ποίοις δὲ συντάσσονται Ῥήμασι;

μ. Παντοίοις, οἷον εὐσεβῶς ζῆ. Ἁγίως πολιτευέσθω τῶν Χριστιανῶν ἕκαστος. Δαψιλῶς ἐμφορηθείην τῆς εὐθέως ἐφέσεως. Ἐὰν ἐμπόνως ἀναγνῶ, ὠφεληθήσομαι. Ἀπαύστως φοβεῖσθαι τὸν Θεὸν χρή.

δ. Τὰ δὲ Ποιότητος, ποίοις;

μ. Παντοίοις καὶ ταῦτα συντάσσονται Ῥήμασι.

δ. Πότε χρώμεθα τούτοις;

μ. Ἡνίκα ἂν θέλοιμεν ποιάν τινα κίνησιν, ἢ σχῆμα, ἢ ἄλλο τι ποιὸν πρᾶγμα δηλοῦν· οἷον βοτρυδὸν αἱ Μέλισσαι πέτονται. Σημαίνει δὲ καὶ τὸ ὁμοῦ· Ἰλαδὸν οἱ στρατιῶται πορεύονται. Κρουνηδὸν ὁ Διδάσκαλος διαλέγεται.

δ. Τὰ δὲ Ποσότητος ποίοις;

μ. Καὶ ταῦτα παντοίοις.

δ. Τί διαφέρουσι τὰ τῆς Ποσότητος Ἐπιῤῥήματα τῶν ἀριθμοῦ δηλωτικῶν;

μ. Ὅτι τὰ μὲν τῆς Ποσότητος ἀόριστον ποσὸν σημαίνουσιν, οἷον πολλάκις, πλεονάκις, ὀλιγάκις. εἰ γὰρ καὶ τὸ πολλάκις πολύ τι δηλοῖ, καὶ τὸ ὀλιγάκις ὀλίγον, ἀλλ' οὖν ἀόριστα. Τὰ δὲ Ἀριθμοῦ σημαντικὰ οὐχ οὕτως, ἀλλ' ὡρισμένον ποσὸν ἐμφαίνουσιν·

οἷον

τότε Ἰούδας ὁ δυσσεβὴς, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο.

δ. Παραδειγμάτισον ϗ τὰ τοῦ Καιροῦ;

μ. Τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοὶ Υἱὸν ἐμὸν τίσωσιν, ὀφέλλωσίν τε ἑ τιμῇ. Παρατίθεται δὲ πολλάκις ἕκαστον τούτων ἐν τῇ συντακτικῇ τοῦ λόγου κατασκευῇ, χωρὶς τῆς τοῦ ἑτέρου ἀνταποδόσεως· ῥημάτων δηλαδὴ προτασσομένων, ἢ ἐπαγομένων, χρονικὴν ὁρίζοντων σημασίαν· οἷον, Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα, καὶ κατὰ θυμόν, Ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος· ἦλθε δ' Ἀθήνη Οὐρανόθεν· πρὸ γὰρ ἧκε Θεὰ λευκώλενος Ἥρη. Καὶ παρὰ τῇ Θείᾳ Γραφῇ· Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος, Ἀμήν. Καὶ ἐν τοῖς Ψαλμοῖς· Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη.

δ. Τίνι τὸ Ἕως ἰσοδυναμεῖ;

μ. Τῷ μέχρι, καὶ ἄχρι, καὶ τὴν αὐτὴν σύνταξιν ἔχουσι.

δ. Τὰ δὲ Μεσότητος Ἐπιῤῥήματα ὁποίαν σημασίαν ἔχουσι;

μ. Διαφόρους τε καὶ ἀπείρους. διὸ οὐκ ἀπὸ τοῦ σημαινομένου τὴν κλῆσιν ἔλαχον, ἀλλ' ἀπὸ τῆς Γενικῆς τῶν πληθυντικῶν, μέσης προσαγορευομένης. (ἐφ' ἑκάστου γὰρ γένους ἡ Γενικὴ πληθυντικὴ τοιαύτη λέγεται) ὅθεν καὶ τὴν ὀνομασίαν, καὶ τὸ σημαινόμενον, ϗ τὴν

μ. Τὸ τόφρα, τέως, τηνίκα· ἐξ ἧς τὸ τηνικαῦτα παράγεται.

δ. Διατὶ λέγονται ἀναφορικά;

μ. Ἐπειδὴ τὸν νοῦν τοῦ ἀκροατοῦ ἀναφέρουσιν ἐπὶ τὸν καιρὸν, ὑπὸ τοῦ λαλοῦντος ὁριζόμενα καθ' οἷον ἐθέλει χρόνον. Ἐνεστῶτα, ἢ Παρωχηκότα, ἢ Μέλλοντα· ἀποβάλλοντα δὲ τὸ κατ' ἀρχὴν τ, τὰ ἑαυτῶν ἀνταποδοτικὰ κατασκευάζουσιν, ὥσπερ καὶ τὰ ἐν τοῖς Ὀνόμασιν ἀναφορικά. Ὃν γὰρ τρόπον ἐκ τοῦ τοῖος, γίνεται οἷος· καὶ τοῦ τόσος, ὅσος· καὶ τοῦ πηλίκος, ἡλίκος· τὸν αὐτὸν τρόπον ἐκ τοῦ τῆμος, γίνεται ἦμος· καὶ τοῦ τότε, ὅτε· καὶ τοῦ τέως, ἕως· καὶ τοῦ τηνίκα, ἡνίκα· καὶ τοῦ τόφρα, ὄφρα· ὅπερ συμπίπτει τῷ αἰτιολογικῷ συνδέσμῳ, λέγω δὲ τῷ ὁμωνύμῳ αὐτοῦ ὄφρα. Εἰσὶ μέντοι ποιητικὰ τὸ τῆμος, καὶ ἦμος, καὶ ὁμοιώσηματῷ τότε, καὶ ὅτε· τηνίκατε, καὶ ἡνίκα· προηγοῦνται δὲ κατὰ τὴν τοῦ λόγου σύνταξιν ἀλλήλων, καὶ ἑφέπονται καθ' ὁμοιότητα τῶν ἀναφορικῶν ὀνομάτων, κατὰ πᾶσαν ἔγκλισίν τε καὶ διάθεσιν. Κυρίως μὲν ἀνταποδοτικὰ, τὰ ἀρχόμενα ἀπὸ τοῦ τ.

δ. Παραδειγμάτισον τὰ τοῦ χρόνου;

μ. Ἦμος δ' οὔτ' ἄρπω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ, τῆμος ἄρ ἀμφιπυρὴν κριτὸς ἔγρετο λαὸς Ἀχαιῶν. Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε, δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός. Ὅτε οἱ ἔνδοξοι Μαθηταὶ ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο,

δ. Τῶν δὲ καιρῶ παρατατικῶν τὸ Σήμερον, τίνι χρόνῳ συντάσσεται;

μ. Παντὶ, χωρὶς τῶ Υ᾽περσυντελικῶ, καὶ Μέλλοντος. Ε᾽νεστῶτι μὲν, οἷον σήμερον ὁ Προφήτης καὶ Πρόδρομος τῷ Δεσπότη προσέρχεται. Παρατατικῷ δὲ, οἷον σήμερον ἔγραφον. Παρακειμένῳ δὲ, οἷον σήμερον ὁ Παράδεισος ἠνέωκται. Α᾽ορίςῳ δὲ, οἷον σήμερον ἡ χάρις τῶ Α᾽γίου Πνεύματος ἐν εἴδει Περιςερᾶς τοῖς ὕδασιν ἐπεφοίτησε.

δ. Τὸ δὲ Αὔριον τίνι;

μ. Τῷ Μέλλοντι, οἷον αὔριον ποιήσω. Ποτὲ δὲ καὶ τῷ Ε᾽νεστῶτι, ἡνίκα ἂν ὡς ἐν βεβαίῳ τῷ μέλλοντι γενέσθαι δηλοῦν βουλόμεθα, οἷον αὔριον ἔρχομαι.

δ. Τὸ δὲ Ε᾽χθὲς, ὃ καὶ Χθὲς λέγεται, τίνι;

μ. Παρατατικῷ, καὶ Α᾽ορίςῳ. Παρατατικῷ μὲν, οἷον χθὲς συνεθαπτόμην σοι Χριςέ. Α᾽ορίςῳ δὲ, οἷον χθὲς ἔγραψα.

δ. Τί διαφέρει ὁ Χρόνος τῶ Καιρῶ;

μ. Ο῞τι ὁ Χρόνος καθολικώτερός τε, καὶ περιεκτικώτερος τῶ Καιρῶ καθέςηκε. Περιέχει γὰρ ὁ Χρόνος τὸν Καιρὸν, ὁ δὲ Καιρὸς τὸν Χρόνον ὐ περιέχει. εἴποι γὰρ ἄν τις τὸν καιρὸν χρόνον, ὐμὴν δὲ τὸν χρόνον καιρόν.

δ. Ε᾽ν τοῖς τῶ Χρόνυ δηλωτικοῖς Ε᾽πιρρήμασι, ποῖα εἰσιν ἀναφορικά;

μ. Ε῎ςιν ὅτε τὸ Τῆμος, καὶ Τότε.

δ. Ε᾽ν δὲ τοῖς τοῦ Καιρῶ παρατατικοῖς, ποῖα;

μ. Τὸ

Ἀντωνυμίαι δὲ, οἷον ἡμεῖς, ὑμεῖς, κἀκεῖνοι τὸν Θὺ δοξάζομεν.

δ. Τῶν χρονικῶν Ἐπιῤῥημάτων τὸ Νῦν τίνι συντάσσεται χρόνῳ;

μ. Παντὶ, πλὴν τοῦ Ὑπερσυντελικοῦ. Ἐνεστῶτι μὲν,

Νῦν πειρᾶται· τάχα δ᾽ ἴψεται υἷας Ἀχαιῶν.

Μέλλοντι δὲ, οἷον

Νῦν αὖτ᾽ ἐγχείῃ πειράσομαι, αἴκεν τύχοιμι.

Παρακειμένῳ δὲ, οἷον

Νῦν δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά.

Παρατατικῷ δὲ, οἷον Νῦν ἐπόνουν. Ἀορίστῳ δὲ, οἷον

Νῦν γὰρ Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ.

δ. Τὸ Ἤδη, καὶ τὸ Πάλαι, τίνι;

μ. Παρατατικῷ, Ὑπερσυντελικῷ, καὶ Ἀορίστῳ· οἷον ἤδη ἔγραφον, ἤδη ἐγεγράφει, ἤδη ἔγραψα. Εὕρηται δὲ τὸ Ἤδη καὶ μετὰ Μέλλοντος, ὡς παρὰ τῷ Ποιητῇ, οἷον Ἢ ἤδη φθίσονται ὑπ᾽ αὐτοῦ δηϊδαμέντες. καὶ μετὰ Ἐνεστῶτος· οἷον Ἤδη γάρ μοι εἰκοσὸν ἔτος ἐστί. καὶ τὸ Πάλαι καὶ Ἤδη μετὰ Παρακειμένου, παρὰ τῷ Σοφοκλεῖ. Πάλαι δέδοκται ταῦτα. καὶ παρὰ τῇ Θείᾳ Γραφῇ· Ἤδη κέκειται.

δ. Τὸ δὲ Ὅτε, καὶ Τότε, τίνι;

μ. Καὶ ταῦτα παντὶ, πλὴν τοῦ Παρακειμένου, οἷον ὅτε νοῶ, ὅτε ἐνόουν, ὅτε ἐνενοήκειν, ὅτε ἐνόησα, ὅτε νοήσω· οὐ γὰρ λέγομεν ὅτε νενόηκα.

δ. Τὸ δὲ Αὖθις τίνι;

μ. Τῷ Μέλλοντι μόνῳ, οἷον αὖθις ποιήσω, αὖθις διδάξω.

δ. Τῶν

# Τεχνολογία Ξ'. τῆς τῶν Ἐπιῤῥημάτων Συντάξεως.

δ. Ποίοις τοῦ Λόγου μέρεσι τὰ Ἐπιῤῥήματα συντάσσονται;

μ. Τοῖς Ῥήμασι.

δ. Τὰ Ἐπιῤῥήματα προηγοῦνται τῶν Ῥημάτων ἐν τῇ συντάξει, ἢ τὰ Ῥήματα τῶν Ἐπιῤῥημάτων;

μ. Ἀδιαφόρως ἔχουσιν· ὁτὲ μὲν γὰρ τὰ Ἐπιῤῥήματα προηγοῦνται τῶν Ῥημάτων, οἷον καλῶς ἦλθες. ὁτὲ δὲ τὰ Ῥήματα τῶν Ἐπιῤῥημάτων, οἷον ἦλθες καλῶς.

δ. Συμπλέκονται δέποτε καὶ ἐπάλληλα Ἐπιῤῥήματα ἑνὶ Ῥήματι;

μ. Ἔγωγε, οἷον εὐγενῶς, καὶ εὐσεβῶς, καὶ τιμίως, καὶ θεαρέστως εἰργάσω.

δ. Ἔχουσι καὶ ἄλλα τινὰ τοῦ Λόγου μέρη τοιαύτην σύνταξιν;

μ. Ἔγωγε.

δ. Ποῖα;

μ. Ὀνόματα, Μετοχαὶ, καὶ Ἀντωνυμίαι. Ὀνόματα μὲν, οἷον ὁ οὐρανὸς, καὶ πᾶς τῶν ἀστέρων χορὸς, γῆτε καὶ θάλασσα, καὶ πᾶσα κτίσις, τὸν δημιουργὸν καὶ εὐεργέτην Χριστὸν δοξολογεῖ. Μετοχαὶ δὲ, οἷον ὁ πλάσας, ὁ ἀγαπήσας, ὁ φωτίσας, καὶ σώσας ἡμᾶς Ἰησοῦς, τοῦ οἰκείου πλάσματος φροντίζεται.

Ἀντω-

βα, μὴ προηγουμένου συμφώνου· οἷον περῶ, περάσω· γηρῶ, γηράσω. Πλὴν τοῦ ξυρῶ, ξυρήσω. Ἔτι τὰ εἰς λω ὑπερμονοσύλλαβα, τῷ ε παραλήγοντα, οἷον γελῶ, γελάσω· ἐλῶ, ἐλάσω. Καὶ τὰ εἰς ρῶ, καὶ λῶ μονοσύλλαβα, μὴ ποιοῦντα παράγωγα εἰ μι, οἷον δρῶ, δράσω. θλῶ, θλάσω.

δ. Πότε δὲ παραλήγει τῷ η;

μ. Ὅταν προηγῆται τοῦ τύπου αὐτοῦ ἀμέσως υ, οἷον ἐγγυῶ, ἐγγυήσω. Καὶ τὰ εἰς λῶ, μὴ παραλήγοντα τῷ ε, εἰς η ποιοῦσι τὸν Μέλλοντα, οἷον συλῶ, συλήσω. πλὴν τοῦ χαλῶ, χαλάσω. ἠλῶ, ἠλάσω. Καὶ τὰ εἰς ὁποιονδήποτοῦν ἄλλο σύμφωνον λήγοντα, εἰς η ποιοῦσι τὸν Μέλλοντα, οἷον ὁρῶ, ὁρήσω· τλῶ, τλήσω· ζῶ, ζήσω· κυβερνῶ, κυβερνήσω· τρυγῶ, τρυγήσω· σπῶ, σπήσω, τὸ ἀκολουθῶ· σπῶ δὲ, σπάσω, τὸ ἀνασπῶ.

δ. Πότε ὁ Μέλλων τῆς τρίτης παραλήγει τῷ ω;

μ. Ὅταν τὸ Ῥῆμα ἔχῃ προεπικείμενον Ῥηματικὸν οἷον χρυσὸς, χρυσῶ, χρυσώσω· ἄργυρος, ἀργυρῶ, ἀργυρώσω· στέφανος, στεφανῶ, στεφανώσω.

δ. Πότε δὲ τῷ ο;

μ. Ὅταν οὐκ ἔχῃ τὸ Ῥῆμα προεπικείμενον Ῥηματικὸν, οἷον ὁμῶ, ὁμόσω· ἀρῶ, ἀρόσω.

καὶ περιεσπωμένοις. Πλὴν τοῦ εἰς μι. ἐν τούτοις γὰρ ὁ κανὼν οὐ τηρεῖται.

δ. Πότε ὁ Μέλλων τῆς Πρώτης τῶν Περισπωμένων παραλήγει τῷ η;

μ. Ὅταν ὁ Ἐνεστὼς μακρᾷ παραλήγῃ φύσει, ἢ θέσει, οἷον ποιῶ, ποιήσω. τηρῶ, τηρήσω. ἀθλῶ, ἀθλήσω. πλὴν τοῦ ἀρκῶ, ἀρκέσω. νεικῶ, νεικέσω. αἰδῶ, αἰδέσω. αἰνῶ, αἰνέσω. καὶ ἐπαινῶ, ἐπαινέσω. παρὰ δὲ τοῖς Παλαιοῖς, αἰνήσω, καὶ ἐπαινήσω. ὡς καὶ Ὅμηρος, Μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο.

δ. Ὅταν δὲ ὁ Ἐνεστὼς βραχείᾳ παραλήγῃ, τίνι ὁ Μέλλων;

μ. Ποτὲ μὲν τῷ η, οἷον νοῶ, νοήσω· ποτὲ δὲ τῷ ε, οἷον τελῶ τελέσω. Ἔνιοι δὲ ἀμφότερα ἔχουσιν, οἷον φρονῶ, φρονήσω, καὶ φρονέσω. πονῶ, πονήσω, καὶ πονέσω.

δ. Ποῖοι Χρόνοι φυλάττουσι τὴν παραλήγουσαν τοῦ Μέλλοντος;

μ. Ὁ Παρακείμενος, ὁ Ὑπερσυντελικὸς, καὶ ὁ Ἀόριστος πρῶτος, ἐν πάσῃ Συζυγίᾳ περισπωμένῃ, οἷον φρονήσω, πεφρόνηκα, ἐπεφρονήκειν, ἐφρόνησα.

δ. Πότε ὁ Μέλλων τῆς Δευτέρας παραλήγει τῷ α;

μ. Ὅταν ὁ τύπος αὐτοῦ καθαρὸς ὢν, ἔχῃ πρὸ αὐτοῦ ε, ἢ ι, ἢ ο. οἷον ἐῶ, ἐάσω. αἰτιῶ αἰτιάσω. ἀκροῶ, ἀκροάσω. Πλὴν τοῦ βοῶ, βοήσω· γοῶ, γοήσω. ἀλοῶ, ἀλοήσω. Ἔτι τὰ εἰς ρω ὑπερμονοσύλλαβα,

δ. Ὅταν ὁ Παρακείμενος ἀπὸ συμφώνου ἄρχηται, φυλάττει αὐτὸ καὶ ὁ Ἀόριστος;

μ. Οὔ, ἀποβάλλει γὰρ τὸ σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ ὅ, τε παθητικὸς, καὶ ἐνεργητικὸς, οἷον πεποίηκα, ἐποίησα· πεποίημαι, ἐποιήθην. τέτυφα, ἔτυψα· τέτυμμαι, ἐτύφθην.

δ. Ὅταν εὑρεθῇ σύμφωνον πρὸ τοῦ μ τοῦ παθητικοῦ Παρακειμένου, φυλάττει αὐτὸ καὶ ὁ Ἀόριστος;

μ. Ἔγωγε· οἷον κέκαρμαι, ἐκάρθην. ἔψαλμαι, ἐψάλθην· ἔξεσμαι, ἐξέσθην. Πλὴν εἰ μὴ εἴη μ, ἢ γ. ὅτε γὰρ εὑρεθῇ μ ἀπὸ τοῦ φ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ φ, οἷον τέτυφα, τέτυμμαι, ἐτύφθην. γέγραφα, γέγραμμαι, ἐγράφθην. Ὅτε δὲ γ ἀπὸ τοῦ χ μεταβληθὲν, τρέπει αὐτὸ εἰς τὸ χ, οἷον λέλεχα, λέλεγμαι, ἐλέχθην. Τὸ δὲ ἐμολύνθην, καὶ ἐμιάνθην, ἔχει ν διὰ τὴν ἐπιφορὰν τοῦ θ.

δ. Οἱ λαμβάνοντες χρονικὴν, ἢ συλλαβικὴν αὔξησιν χρόνοι ἐν τοῖς Ὁριστικοῖς, φυλάττουσιν αὐτὴν κἀν ταῖς Μετοχαῖς, καὶ λοιπαῖς Ἐγκλίσεσιν;

μ. Ἔγωγε, ἀλλ' οὐχὶ πάντες. οἱ γὰρ Ἀόριστοι τῶν τε Μετοχῶν, καὶ λοιπῶν Ἐγκλίσεων, πρῶτοί τε καὶ δεύτεροι, μέσοι τε πρῶτοι, καὶ μέσοι δεύτεροι, συνάρχονται τοῖς οἰκείοις Ἐνεστῶσιν, οἷον ἄκουε, ἄκουσον· ἀκούοιμι, ἀκούσαιμι. τύπτε, τύψον. τύπτοιμι, τύψαιμι· κἀν τοῖς λοιποῖς ὡσαύτως ἐνεργητικοῖς τε, καὶ παθητικοῖς, βαρυτόνοις τε,

καὶ

μεμίαμμαι, μεμίανσαι, μεμίανται. Ὅτε δὲ τὸ πρῶτον πρὸ τῆ μ ὐδὲν ἔχει, ὐδὲ τὸ δεύτερον, καὶ τρίτον, οἷον πεποίημαι, πεποίησαι, πεποίηται. Τὸ δὲ τρίτον τῶν πληθυντικῶν τῶν βαρυτόνων πάντων ῥημάτων, ὐχ οἷόν τε γενέθαι. Ἡ χρῆσις δὲ αὐτὸ ἀναπληροῖ διὰ Μετοχῆς, ἢ Ὑπαρκτικοῦ Ῥήματος, οἷον μεμιασμένοι εἰσί.

δ. Ποῖυ δὲ ὁ Ὑπερσυντελικὸν παραλήγυσαν φυλάττει;

μ. Τοῦ Παρακειμένυ, οἷον τέτυμμαι, ἐτετύμμην. γέγραμμαι, ἐγεγράμμην.

δ. Πότε ὁ παθητικὸς Ὑπερσυντελικὸς προςλαμβάνει ε αὔξησιν;

μ. Ὅταν καὶ ὁ ἐνεργητικός.

δ. Ὁ δὲ παθητικὸς Ἀόριςος, ποίου;

μ. Τῦ τῦ Παρακειμένυ, οἷον τέτυμμαι, ἐτύφθην· πεποίημαι, ἐποιήθην· Πλὴν τοῦ εὔρημαι, εὑρέθην. καὶ ἐπῄνημαι, ἐπῃνέθην. καὶ ἐῤῥημαι, ἐῤῥέθην: καὶ τοῦ μέμνημαι, ἐμνήσθην· προςλαμβάνοντος σ. καὶ σέσωσμαι, ἐσώθην, ἀποβάλλοντος αὐτό. Καὶ πλὴν τοῦ χῶ, χήσω, ἔχηκα, ἔχημαι, ἐχέθην. Καὶ τῶν ἀπὸ τῦ αἱρῶ πεπλασμένων, οἷον καθῄρημαι, καθηρέθην. ἀφῄρημαι, ἀφηρέθην. καὶ πλὴν τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνων, καὶ τρεπόντων τὸ ε εἰς α ἐν τῷ παθητικῷ Παρακειμένῳ, οἷον ἔςραμμαι, ἐςρέφθην· τέτραμμαι, ἐτρέφθην.

 δ. Ὅταν

μαι. Ὅτε γὰρ μακρᾷ παραλήγει ὁ ἐνεργητικὸς, ἐδὲ ἐν προσλαμβάνει ὁ παθητικὸς, οἷον πεποίηκα, πεποίημαι· βεβόηκα, βεβόημαι. Τῶν δὲ τῆς ἕκτης Συζυγίας, οἱ μὲν λαμβάνουσιν, οἷον κελεύω, κεκέλευκα, κεκέλευσμαι· ξέω, ἔξεκα, ἔξεσμαι. οἱ δὲ ἔ, οἷον βασιλεύω, βεβασίλευκα, βεβασίλευμαι.

δ. Οἱ δὲ παθητικοὶ τῆς πέμπτης Συζυγίας τί λαμβάνουσι πρὸ τοῦ μ;

μ. Τὸ ἐν τῷ ἐνεργητικῷ ἀμετάβολον, οἷον ψάλλω, ἔψαλκα, ἔψαλμαι. σπείρω, ἔσπαρκα, ἔσπαρμαι. Τὰ δὲ εἰς νω λήγοντα ῥήματα, τρέπουσι τὸ ν εἰς γ ἐν τῷ ἐνεργητικῷ Παρακειμένῳ· ἐπειδὴ τὸ ν πρὸ τοῦ γ, κ, ξ, χ, εἰς γ τρέπεται ἐν τῇ συνθέσει. οἷον μιαίνω, μεμίαγκα. μολύνω, μεμόλυγκα. Πλὴν τῶν σεσημειωμένων, ἀποβαλλόντων τὸ ἀμετάβολον ν ἐπὶ τοῦ Παρακειμένου, οἷον κείνω, κεινῶ, κέκεικα. κλίνω, κλινῶ, κέκλικα. πλύνω, πλυνῶ, πέπλυκα. τείνω, τενῶ, τέτακα. κερδαίνω, κερδανῶ, κεκέρδακα. τὸ δὲ γ ἀπὸ τοῦ ν, τρέπεται κοινῶς εἰς μ ἐν τῷ παθητικῷ Παρακειμένῳ, οἷον μεμίαγκα, μεμίαμμαι· μεμόλυγκα, μεμόλυμμαι. Οἱ Ἀττικοὶ δὲ τὸ μ τοῦτο εἰς σ τρέποντες, μεμίασμαι, καὶ μεμόλυσμαι, λέγουσιν. ὅτε μὲν πρὸ τοῦ μαι καὶ ἕτερον ἐστι μ τετραμμένον ἀπὸ τοῦ γ, ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ προσλαμβάνεται ν, οἷον μεμίαγκα,

με-

ἀπὸ δισυλλάβων τῆς πρώτης, καὶ δευτέρας συζυγίας τῶν Βαρυτόνων, τὸ ε τοῦ Ἐνεστῶτος αὐτῶν εἰς ο τρεπόντων ἀττικῶς, οἷον λέγω, λέλεχα, λέλοχα, λέλεγμαι. Καὶ πλὴν τῶν ἐχόντων τὸ ρ μετ᾽ ἐπιπλοκῆς συμφώνου· τούτων γὰρ οἱ παθητικοὶ Παρακείμενοι τρέπουσι τὸ ε εἰς α, οἷον στρέφω, στρέψω, ἔστρεφα, ἔστραμμαι. τρέπω, τρέψω, τέτρεφα, τέτραμμαι· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἰωνικῶς τετράφαται. Τρέφω, θρέψω, τέθρεφα, τέθραμμαι· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἰωνικῶς τεθράφαται. Χωρὶς τοῦ βρέχω, βέβρεχα, βέβροχα, βέβρεγμαι. καὶ δέδωκα, δέδομαι.

δ. Πότε ὁ παθητικὸς Παρακείμενος πρὸ τοῦ μ λαμβάνει καὶ ἕτερον μ;

μ. Ὅταν ὁ ἐνεργητικὸς Παρακείμενος ἔχῃ τελικὸν φ, οἷον τέτυφα, τέτυμμαι.

δ. Πότε δὲ πρὸ τοῦ μ λαμβάνει γ;

μ. Ὅταν ὁ ἐνεργητικὸς ἔχῃ τελικὸν χ, οἷον πέπλεχα, πέπλεγμαι.

δ. Πότε δὲ πρὸ τοῦ μ λαμβάνει σ;

μ. Ὅτε ὁ ἐνεργητικὸς Παρακείμενος ἀπὸ βαρυτόνου θέματος γινόμενος, τῆς τρίτης, καὶ τετάρτης συζυγίας, ἔχει τελικὸν κ, οἷον πείθω, πέποικα, πέπεισμαι. λακτίζω, λελάκτικα, λελάκτισμαι. Καὶ εἰ ἀπὸ περισπωμένου θέματος ὢν, βραχεῖα παραλήγει· οἷον τελῶ, τετέλεκα, τετέλεσ-

 μαι.

ρυτόνων ῥημάτων τούτων γὰρ οἱ Μέλλοντες περιττοσυλλαβοῦσι τῶν οἰκείων Ἐνεστώτων, οἷον μέλω, μελήσω. θέλω, θελήσω. καὶ πλὴν τοῦ αὔξω, αὐξήσω. καὶ ἕψω, ἑψήσω. καὶ ἀλέξω, ἀλεξήσω. Καὶ πλὴν τῶν περισπωμένων, οἷον ποιῶ, ποιήσω. βοῶ, βοήσω. χρυσῶ, χρυσώσω. Οἱ δὲ τῶν εἰς μι Μέλλοντες τοὐναντίον πάσχουσιν· ἐλαττοῦνται γὰρ τῶν οἰκείων Ἐνεστώτων, οἷον τίθημι, θήσω. ἵστημι, στήσω. δίδωμι, δώσω.

δ. Ὁ δὲ Μέλλων δεύτερος, ποίου χρόνου φυλάττει σύμφωνον;

μ. Τοῦ δευτέρου Ἀορίστου, καὶ συναρχεται τῷ πρώτῳ Μέλλοντι, οἷον ἔτυπον, τυπῶ.

δ. Ὁ δὲ παθητικὸς Παρατατικὸς ποίου παραλήγουσαν φυλάττει;

μ. Τοῦ παθητικοῦ Ἐνεστῶτος, οἷον τύπτομαι, ἐτυπτόμην.

δ. Ὁ ποίαν αὔξησιν δέχεται ὁ Παρατατικός;

μ. Ὁ τὲ μὲν χρονικὴν, ὁ τὲ δὲ συλλαβικὴν, ὡς ἐν τοῖς ἐνεργητικοῖς ἔφην. Οἱ Ἀττικοὶ δὲ χρονικὴν αὔξησιν ποιοῦντες ἐν τῇ συλλαβικῇ αὐξήσει, ἠβουλόμην λέγουσιν ἀντὶ ἐβουλόμην. καὶ ἠδυνάμην ἀντὶ ἐδυνάμην. καὶ ἤμελλον, ἀντὶ ἔμελλον.

δ. Ὁ δὲ παθητικὸς Παρακείμενος, ποίου;

μ. Τοῦ ἐνεργητικοῦ Παρακειμένου, οἷον τέτυφα, τέτυμμαι. Πλὴν τῶν γινομένων Παρακειμένων

ἀπὸ

σπείρω, ἔσπαρον. καίτοι εὕρηνται Ἀόριστοι δεύτεροι ἀπὸ περισπωμένων, μακροπαραληκτοῦντες, οἷον χλαισμῶ, ἔχλαισμον. ὀλισθῶ, ὄλισθον. καὶ ἄλλοι. ἔτι δὲ καὶ ἀπὸ βαρυτόνων, οἷον εἴπον, εἶδον, εὗρον, καὶ ἄλλοι.

δ. Ποῖα δὲ ὁ Μέλλων παραλήγουσαν φυλάττει;

μ. Τοῦ ἰδίου Ἐνεστῶτος, οἷον γράφω, γράψω. λείπω λείψω. Πλὴν τῶν τῆς Πέμπτης. ταύτης γὰρ οἱ Μέλλοντες ἀποβάλλουσιν ἓν ἀμετάβολον, ἢ τὸ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν αὐτῶν βραχεῖαν ποιήσωσιν· οἷον ψάλλω, ψαλῶ. φαίνω, φανῶ. σπείρω, σπερῶ. Καὶ πλὴν τῶν σεσημειωμένων, οἷον πλέω, πλεύσω· ῥέω, ῥεύσω. χέω, χεύσω. πνέω, πνεύσω. ἔτι καὶ τὸ καίω, καύσω. καὶ κλαίω, κλαύσω.

δ. Πῶς δὲ τοὺς τῶν εἰς ζω βαρυτόνων ὑπερδισυλλάβων, βραχεῖ ι παραληγόντων, Μέλλοντας οἱ Ἀττικοὶ σχηματίζουσιν;

μ. Ἀποβάλλοντες τὸ σ, περισπῶσιν αὐτούς· οἷον νομίζω, νομίσω κοινῶς, καὶ νομιῶ ἀττικῶς. ἀνακαινίζω, ἀνακαινίσω, ἀνακαινιῶ. κομίζω, κομίσω, κομιῶ. ἀγωνίζομαι, ἀγωνίσομαι, ἀγωνιοῦμαι.

δ. Ἐκ ποίου στοιχείου ἄρχεται ὁ Μέλλων;

μ. Ἐξ οὗπερ καὶ ὁ Ἐνεστώς· συνάρχεται γὰρ τῷ Ἐνεστῶτι καὶ ἰσοσυλλαβεῖ τούτῳ· οἷον γράφω, γράψω. λέγω, λέξω. Πλὴν τῶν ληγόντων εἰς ω λ βαρυ-

ἔτυπον.

δ. Πότε δ' ἐλαττοῦται τῷ Πρώτου ὁ Δεύτερος.

μ. Ὅτε ἀπὸ περισπωμένου γίνεται θέματος, οἷον ἐδούπησα, ἔδουπον. ἐκτύπησα, ἔκτυπον. ἠνώγησα, ἤνωγον.

δ. Ὅταν ὁ Ἀόριστος Δεύτερος δισύλλαβος, καὶ ὑπερδισύλλαβος, εἴτε ἀπὸ βαρυτόνου, εἴτε ἀπὸ περισπωμένου θέματος γίνεται διχρόνῳ παραλήγῃ, ὁποῖόν ἐστι κατὰ χρόνον τὸ δίχρονον;

μ. Βραχὺ, οἷον ἔτυπον, ἔγραφον. καὶ εἰ μὲν ἐστιν ἡ δίφθογγος ἐν τῷ Ἐνεστῶτι, ἀποβάλλεται τὸ ε ἐν τῷ δευτέρῳ Ἀορίστῳ, οἷον φεύγω, ἔφυγον. τεύχω, ἔτυχον. Εἰ δὲ αυ, τὸ υ ἀποβάλλεται, οἷον παύω, ἔπαον. εἰ δὲ ει, τὸ ε ἀποβάλλεται, οἷον λείπω, ἔλιπον. πείθω, ἔπιθον. Εἰ δὲ αι, ἀποβάλλεται τὸ ι, οἷον φαίνω, ἔφανον. καίω, ἔκαον. Εἰ δὲ η, τρέπεται εἰς α, οἷον λήβω, ἔλαβον. λήχω, ἔλαχον.

δ. Ὅταν ὁ Ἐνεστὼς δύο ἀμετάβολα ἔχῃ, ποῖον φυλάττει ὁ Ἀόριστος δεύτερος;

μ. Τὸ πρῶτον, καθάπερ καὶ ὁ μέσος Παρακείμενος, οἷον κάμνω, κέκαμα, ἔκαμον. δάμνω, δέδαμα, ἔδαμον.

δ. Ὅταν δὲ ἐν δισυλλάβοις Ἐνεστῶσιν εὑρεθῇ τὸ ε μόνον, ἢ μετὰ τοῦ ι, ἀμεταβόλου προηγουμένου, ἢ ἐπιφερομένου, εἰς τί τρέπεται ἐν τῷ Δευτέρῳ Ἀορίστῳ;

μ. Τὸ μὲν ε, ὡς ἐπὶ τὸ πλεῖστον εἰς α, τὸ δὲ ι ἀποβάλλεται· οἷον στέλλω, ἔσταλον. κλέπτω, ἔκλαπον.

ξήτως. Πολλάκις δὲ οἱ αὐτοί εἰσι Πρῶτοι Παρακείμενοι, καὶ Μέσοι· οἷον γέγραφα ὁ Πρῶτος, καὶ γέγραφα ὁ Μέσος. οὕτω καὶ ἤλειφα. καὶ ἄλλοι.

δ. Ο δὲ Ὑπερσυντελικὸς ποίου φυλάττει παραλήγουσαν;

μ. Τοῦ Παρακειμένου, οἷον πεποίηκα, ἐπεποιήκειν.

δ. Ο δὲ Ἀόριστος πρῶτος, ποίου;

μ. Τοῦ Πρώτου Μέλλοντος, οἷον ποιήσω, ἐποίησα. Πλὴν τῶν Ἀορίστων τῆς Πέμπτης Συζυγίας τῶν τεσσάρων ἀμεταβόλων· οὗτοι γὰρ ὅταν ὁ Μέλλων αὐτῶν ἔχῃ ε παραλήγουσαν, προςλαμβάνουσιν ι, οἷον νεμῶ, ἔνειμα. σπερῶ, ἔσπειρα. στελῶ, ἔστειλα. Ὅταν δὲ τὸ α μόνον ἔχῃ ὁ Μέλλων, τρέπουσιν αὐτῷ εἰς η, οἷον ψαλῶ, ἔψηλα· ἀγαλῶ, ἤγηλα. Ὅταν δὲ τὸ α ἔχῃ ὁ Μέλλων ἀπὸ τῆς αι διφθόγγου τοῦ Ἐνεστῶτος, ὁμοίως τρέπουσιν αὐτὸ εἰς η, ἢ φυλάττουσιν αὐτὸ μακρόν· οἷον φαίνω, φανῶ, ἔφηνα, καὶ ἔφανα. ὡς τὸ, Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ. σημαίνω, σημανῶ, ἐσήμηνα, καὶ ἐσήμανα, καὶ ἐθέρμανα, καὶ ἐχλίανα, τοῦ α μακροῦ ὄντος.

δ. Ο δὲ Ἀόριστος δεύτερος, ποίου σύμφωνον φυλάττει;

μ. Τοῦ Μέσου Παρακειμένου, οἷον λέλογα, ἔλεγον. τέτυπα, ἔτυπον. κέκραγα, ἔκραγον. πέφραδα, ἔφραδον. ἦκα, ἦκον.

δ. Πότε ὁ Δεύτερος Ἀόριστος ἰσοσυλλαβεῖ τῷ Πρώτῳ;

μ. Ὅτε γίνεται ἀπὸ βαρυτόνου θέματος, οἷον ἔτυψα,

ἀκούω, ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. εἴω, εἴσω, εἶκα, εἷα, ἧειν.

δ. Ὅταν εὑρεθῇ ε ἐν δισυλλάβῳ Μέλλοντι, φυλάττει αὐτὸ καὶ ὁ Μέσος Παρακείμενος;

μ. Οὐ. εἰ μὲν γὰρ μόνον, τρέπει αὐτὸ εἰς ο, οἷον λέξω, λέλογα. τέξω, τέτοκα. εἰ δὲ μετὰ τοῦ ι ὁμοίως τρέπει αὐτὸ εἰς ο, καὶ τὸ ι προσγράφεται, οἷον πείθω, πείσω, πέπεικα, πέποιθα. εἴδω, εἴσω, εἶκα, οἶδα. εἴκω, εἴξω, εἶχα, οἶκα, καὶ ἀττικῶς ἔοικα. Πλὴν τῶν ληγόντων Δισυλλάβων εἰς ἐν λ. ταῦτα γὰρ τηροῦσι τὸ ε καὶ τῷ Μέσῳ Παρακειμένῳ, οἷον μέλω, μελῶ, μέμελα, καὶ μέμηλα. τέλω, τελῶ, τέτελα.

δ. Ὅταν ὁ Ἐνεστὼς δύο ἀμετάβολα ἔχῃ, ποῖον φυλάττει ὁ Μέσος Παρακείμενος;

μ. Τὸ πρῶτον, οἷον κάμνω, κέκαμα. τέμνω, τέταμα.

δ. Ὅταν δὲ ὁ Ἐνεστὼς παραλήγῃ τῇ αι διφθόγγῳ, εἰς τί τρέπεται αὕτη ἐν τῷ Μέσῳ Παρακειμένῳ;

μ. Τὸ α εἰς η, καὶ τὸ ι ὑπογράφεται, οἷον φαίνω, πέφηνα. χαίνω, κέχηνα.

δ. Πότε ὁ Παρακείμενος περιττοσυλλαβεῖ τοῦ Μέσου Παρακειμένου.

μ. Ὅταν ὁ Μέλλων περιττοσυλλαβῇ τοῦ Ἐνεστῶτος, οἷον δουπῶ, δουπήσω, δεδούπηκα, δέδουπα. κτυπῶ, κτυπήσω, ἐκτύπηκα, ἔκτυπα. ἀνωγῶ, ἀνωγήσω, ἠνώγηκα, ἤνωγα, καὶ ἄνωγα ποιητικῶς ἀναυξήτως.

δ. Ὁ δὲ Μέσος Παρακείμενος ποίου;

μ. Τοῦ Πρώτου Παρακειμένου, οἷον τέτυφα, τέτυπα.

δ. Ποίου δὲ σύμφωνον φυλάττει ὁ Μέσος Παρακείμενος;

μ. Ποτὲ μὲν τοῦ Ἐνεστῶτος, ποτὲ δὲ τοῦ Ῥηματικοῦ.

δ. Πότε φυλάττει τὸ σύμφωνον τοῦ Ἐνεστῶτος;

μ. Ὅτε ὁ Ἐνεστὼς δι' ἑνὸς ἁπλοῦ συμφώνου ἐκφέρεται, οἷον λέγω, λέλογα.

δ. Πότε δὲ τοῦ Ῥηματικοῦ;

μ. Ὅτε ὁ Ἐνεστὼς διὰ δύο συμφώνων ἐκφέρεται, οἷον τύπτω, τύπος, τέτυπα. βλάπτω, βλάβη, βέβλαβα.

δ. Ὅταν δὲ τὸ Ῥηματικὸν δύο σύμφωνα ἔχῃ ἐκ τοῦ Ἐνεστῶτος, φυλάττει αὐτὰ καὶ ὁ Μέσος Παρακείμενος;

μ. Ἔγωγε· οἷον ῥέγκω, ῥόγκος, ἔῤῥογκα.

δ. Ὅταν δὲ ὁ Ἐνεστὼς λήγων εἰς ζ, ἢ εἰς δύο σσ, ποιῇ τὸν Μέλλοντα εἰς ξ, τί σύμφωνον ἔχει ὁ Μέσος Παρακείμενος;

μ. Τὸ γ. οἷον κράζω, κράξω, κέκραγα. πλήσσω, πλήξω, πέπληγα.

δ. Ὅταν δὲ ὁ Ἐνεστὼς λήγων εἰς ζω, ποιῇ τὸν Μέλλοντα εἰς σ, τί σύμφωνον ἔχει;

μ. Τὸ δ, οἷον φράζω, φράσω, πέφραδα.

δ. Ὅτε δὲ ὁ Ἐνεστὼς καθαρὸς προφέρεται, τί σύμφωνον ἔχει;

μ. Οὐδὲν, ὅτι καὶ αὐτὸς καθαρὸς προφέρεται, οἷον ἀκούω,

κός, καὶ ὁ Μέσος Ὑπερσυντελικὸς, οἱ Ἐνεργητικοί.

δ. Πόσοι εἰσὶν οἱ παραγόμενοί τε, καὶ παράγοντες;

μ. Δέκα ὁ Παρατατικὸς, ὁ Παρακείμενος, ὁ Μέσος Παρακείμενος, ὁ Ἀόριστος πρῶτος, ὁ Ἀόριστος δεύτερος, ὁ Μέλλων πρῶτος, ὁ Μέλλων δεύτερος, οἱ Ἐνεργητικοί· ὁ Παρακείμενος, ὁ Ἀόριστος πρῶτος, καὶ ὁ Ἀόριστος δεύτερος, οἱ Παθητικοί.

δ. Ποίου χρόνου παραλήγουσαν φυλάττει ὁ Παρατατικός;

μ. Τοῦ Ἐνεστῶτος, οἷον ποιῶ, ἐποίουν.

δ. Ποίου δὲ ὁ Παρακείμενος;

μ. Τοῦ Μέλλοντος, οἷον ποιήσω, πεποίηκα. Πλὴν τῶν Δισυλλάβων Ῥημάτων τῆς Πέμπτης συζυγίας, τῶν ε παραληγόντων· ταῦτα γὰρ τὸ ε τοῦ Μέλλοντος, εἰς α τρέπουσιν ἐν τῷ Παρακειμένῳ, οἷον σπείρω, σπερῶ, ἔσπαρκα. στέλλω, στελῶ, ἔσταλκα. Καὶ χωρὶς τῶν Δισυλλάβων τῆς πρώτης, καὶ δευτέρας Συζυγίας τῶν Βαρυτόνων, τῶν ε παραληγόντων· τρέπουσι γὰρ ταῦτα τὸ ε εἰς ο ἔθει ἀττικῷ, οἷον πλέκω, πλέξω, πέπλεχα κοινῶς, καὶ πέπλοχα ἀττικῶς. πέμπω, πέμψω, πέπεμφα κοινῶς, καὶ πέπομφα ἀττικῶς.

δ. Ὁ εἰς καλήγων Παρακείμενος, καὶ μακρᾷ παραλήγων, εἰ ἀποβάλλει τὸ κ, ὁποίαν ποιεῖ τὴν οἰκείαν παραλήγουσαν;

μ. Βραχεῖαν, ἔθει ἰωνικῷ, οἷον βέβηκα, βέβαα. δέδοικα, δέδια.

δ. Ὁ

δ. Ὁ δὲ Μέσος Παρακείμενος, ποῖον;

μ. Τὸν μέσον Ὑπερσυντελικὸν, οἷον τέτυπα, ἐτετύπην.

δ. Πόσοι Χρόνοι τῶν Ἐνεργητικῶν;

μ. Δέκα, Ἐνεστὼς, Παρατατικὸς, Παρακείμενος, Μέσος Παρακείμενος, Ὑπερσυντελικὸς, Μέσος Ὑπερσυντελικὸς, Ἀόριστος πρῶτος, Ἀόριστος δεύτερος, Μέλλων πρῶτος, Μέλλων δεύτερος.

δ. Πόσοι δὲ τῶν Παθητικῶν;

μ. Δεκαπέντε, Ἐνεστὼς, Παρατατικὸς, Παρακείμενος, Μετ' ὀλίγον Μέλλων, Ὑπερσυντελικὸς, Ἀόριστος πρῶτος, Ἀόριστος δεύτερος, Μέλλων πρῶτος, Μέλλων δεύτερος, Μέσος Ἀόριστος πρῶτος, Μέσος Ἀόριστος δεύτερος, Μέσος Μέλλων πρῶτος, Μέσος Μέλλων δεύτερος. Οἱ πάντες τῶν Ἐνεργητικῶν τε, καὶ Παθητικῶν Χρόνοι, τρεῖς πρὸς τοῖς εἴκοσι.

δ. Εἰς πόσα διαιροῦνται;

μ. Εἰς τρία, εἰς παράγοντας, καὶ μὴ παραγομένους· εἰς παραγομένους, καὶ μὴ παράγοντας· εἰς παραγομένους τε, καὶ παράγοντας.

δ. Πόσοι εἰσὶν οἱ παράγοντες, καὶ μὴ παραγόμενοι;

μ. Εἷς, ὁ Ἐνεστὼς ὁ ἐνεργητικός.

δ. Πόσοι εἰσὶν οἱ παραγόμενοι, καὶ μὴ παράγοντες;

μ. Δυοκαίδεκα· ὁ Ἐνεστὼς, ὁ Παρατατικὸς, ὁ Μετ' ὀλίγον Μέλλων, ὁ Ὑπερσυντελικὸς, ὁ Μέλλων πρῶτος, ὁ Μέλλων δεύτερος, ὁ Μέσος Ἀόριστος πρῶτος, ὁ μέσος Ἀόριστος δεύτερος, ὁ Μέσος Μέλλων πρῶτος, ὁ Μέσος Μέλλων δεύτερος, οἱ Παθητικοί· ὁ Ὑπερσυντελικὸς,

τύψω, τέτυφα.

δ. Ποῖος δὲ ὁ Α'όριστος πρῶτος ὁ ἐνεργητικός;

μ. Τὸν Μέσον Α'όριστον πρῶτον, οἷον ἔτυψα, ἐτυψάμην. καὶ τ᾽ Α'ορίστου δεύτερον τ᾽ ἐνεργητικὸν, οἷον ἔτυψα, ἔτυπον.

δ. Ποίους δὲ ὁ Α'όριστος δεύτερος ὁ ἐνεργητικός;

μ. Τὸν Μέσον Α'όριστον δεύτερον, οἷον ἔτυπον, ἐτυπόμην. τὸν Μέλλοντα δεύτερον τὸν ἐνεργητικὸν, οἷον ἔτυπον, τυπῶ. καὶ τὸν Α'όριστον δεύτερον τὸν παθητικὸν, οἷον ἔτυπον, ἐτύπην.

δ. Ο'δὲ Μέλλων δεύτερος ὁ ἐνεργητικὸς, ποῖον;

μ. Τὸν Μέσον Μέλλοντα δεύτερον, οἷον τυπῶ, τυποῦμαι.

δ. Ποῖον δὲ ὁ Α'όριστος δεύτερος ὁ παθητικός;

μ. Τὸν Μέλλοντα δεύτερον τὸν παθητικὸν, οἷον ἐτύπην, τυπήσομαι

δ. Ποῖος δ' ὁ Παρακείμενος ὁ ἐνεργητικός;

μ. Τὸν Υ'περσυντελικὸν τὸν ἐνεργητικὸν, οἷον τέτυφα, ἐτετύφειν. τὸν Παρακείμενον τὸν παθητικὸν, οἷον τέτυφα, τέτυμμαι. καὶ τὸν Μέσον Παρακείμενον, οἷον τέτυφα, τέτυπα.

δ. Ο'δὲ Παθητικὸς Παρακείμενος, ποῖος;

μ. Τὸν Υ'περσυντελικὸν τ᾽ παθητικὸν, οἷον τέτυμμαι, ἐτετύμμην. τ᾽ Μετ᾽ ὀλίγον Μέλλοντα, οἷον τέτυμμαι, τέτυψαι, τετύψομαι. καὶ τὸν Α'όριστον πρῶτον τὸν παθητικὸν, οἷον τέτυμμαι, ἐτύφθην.

δ. Ο'δὲ Α'όριστος πρῶτος ὁ παθητικὸς, ποῖον;

μ. Τὸν πρῶτον Μέλλοντα τὸν παθητικὸν, οἷον ἐτύφθην, τυφθήσομαι.

δ. Ο'

δ. Ὅτε δὲ τὸ Ῥῆμα ἀπὸ Φωνήεντος ἀρχόμενον συντί-
θεται προθέσει εἰς φωνῆεν ληγούσῃ, ποῖον τ᾽ δύο
φωνηέντων ἀποβάλλεται ἐν τῇ συνθέσει;

μ. Τὸ τῆς Προθέσεως, οἷον ἐπακούω. πλὴν τῆς πρὸ, καὶ
Περὶ αὗται γὰρ οὐκ ἀποβάλλουσι τὸ οἰκεῖον φωνῆεν
ἐν τῇ συνθέσει, πώποτε, οἷον προάγω, πε-
ριάγω.

δ. Ὅσα δὲ ἄρχονται ἀπὸ τοῦ δυς, καὶ εὖ, πόθεν ποιοῦσι
τὴν αὔξησιν;

μ. Ἔσωθεν, οἷον δυσαρεστῶ, δυσηρέστουν· εὐεργετῶ,
εὐηργέτουν.

## Τεχνολογία Ν΄. τοῦ σχηματισμοῦ τ᾽ Χρόνων, καὶ τῶν κανόνων αὐτῶν.

δ. Ποίους τ᾽ χρόνων παράγει ὁ ἐνεργητικὸς Ἐνεστώς;

μ. Τὸν παθητικὸν Ἐνεστῶτα· οἷον τύπτω, τύπτο-
μαι. τὸν Παρατατικὸν τὸν ἐνεργητικὸν, οἷον τύ-
πτω, ἔτυπτον. καὶ τὸν πρῶτον Μέλλοντα τὸν ἐνεργη-
τικὸν, οἷον τύπτω, τύψω.

δ. Ὁ δὲ Παρατατικὸς ὁ ἐνεργητικὸς, ποῖον;

μ. Τὸν Παρατατικὸν τὸν παθητικὸν, οἷον ἔτυπτον, ἐτυ-
πτόμην.

δ. Ὁ δὲ Μέλλων πρῶτος ὁ ἐνεργητικὸς, ποίους;

μ. Τὸν Μέσον Μέλλοντα πρῶτον, οἷον τύψω, τύψομαι.
τὸν Ἀόριστον πρῶτον τὸν ἐνεργητικὸν, οἷον τύψω,
ἔτυψα. καὶ τὸν Παρακείμενον τὸν ἐνεργητικὸν, οἷον
τύψω,

ρεν, ἐσάρκα.

δ. Πότε ὁ Ὑπερσυντελικὸς περιττοσυλλαβεῖ τοῦ Παρακειμένου;

μ. Ὅτε ὁ Παρακείμενος ἀπὸ Συμφώνου ἄρχεται, οἷον τέτυφα, ἐτετύφειν.

δ. Ποσαχῶς αὔξονται τὰ μετὰ προθέσεων συντιθέμενα Ῥήματα;

μ. Διχῶς, πῆ μὲν πρὸ τοῦ ῥήματος, πῆ δὲ πρὸ τῆς προθέσεως.

δ. Πότε γίνεται ἡ τοῦ Ῥήματος αὔξησις πρὸ τῆς προθέσεως;

μ. Ὅτε αἱ Προθέσεις οὐδὲν πλέον σημαίνουσιν, οἷον ἐνέπω, ἤνεπον. καθεύδω, ἐκάθευδον. Τὸ αὐτὸ γὰρ σημαίνουσι τό, τε ἕπω, καὶ ἐνέπω· καθάπερ καὶ τὸ εὕδω, καὶ καθεύδω.

δ. Πότε δὲ πρὸ τοῦ Ῥήματος;

μ. Ὅτε πλέον αὐτοῦ σημαίνουσιν, οἷον παρακούω, παρήκουον· καταγράφω, κατέγραφον. Ἄλλο γὰρ τὸ γράφω, καὶ ἄλλο τὸ καταγράφω σημαινόμενον ἔχουσι. καθάπερ καὶ τὸ ἀκούω, καὶ παρακούω. Τινὰ μὲν τούτων ἔξωθεν ποιοῦσι τὴν αὔξησιν ἔθει ἀττικῷ, οἷον ἀντιβολῶ, ἠντιβόλουν· ἀμφισβητῶ, ἠμφισβήτουν. Τὸ δὲ ἐνοχλῶ, ἠνώχλουν· καὶ ἀνορθῶ, ἠνώρθουν· καὶ ἀνέχομαι, ἠνεχόμην· καὶ παροινῶ, ἐπαρῴνουν, καὶ πεπαρῴνηκα· καὶ διαιτῶ, δεδιῄτηκα, διπλῆν τὴν αὔξησιν ποιοῦσιν.

δ. Ὅτε

ἔξεκα. ψάλλω, ἔψαλκα.

δ. Τῶν δὲ ἀπὸ Δασέων θ, φ, χ, ἀρχομένων Ῥημάτων οἱ Παρακείμενοι ἀναδιπλασιάζονται;

μ. Ἔγωγε. τρέπονται μέντοι τὰ Δασέα εἰς Ψιλά. ὧν τὸ μὲν θ, εἰς τ τρέπεται, οἷον θεωρέω, ῶ, τεθεώρηκα. τὸ δὲ φ, εἰς π, οἷον φωνέω, ῶ, πεφώνηκα. τὸ δὲ χ, εἰς κ, οἷον χονεύω, κεχόνδυκα.

δ. Γίνεται καὶ τοῖς ἀρχομένοις ἀπὸ συμφώνε Ἀττικὸς Παρακείμενος;

μ. Ἔγωγε.

δ. Ἐν ποίοις;

μ. Ὧν ὁ Ἐνεςὼς ἀπὸ τοῦ λ, ἢ μ ἄρχεται. ἐκβολῇ τοῦ πρώτου λ, ἢ μ, καὶ πλεονασμῷ τοῦ ι, οἷον λήβω, λήψω, λέληφα κοινῶς, καὶ εἴληφα ἀττικῶς. μείρομαι, μερῦμαι, μέμαρμαι κοινῶς, καὶ εἵμαρμαι ἀττικῶς, ὅθεν εἱμαρμένη.

δ. Ὅταν ὁ Παρακείμενος ἀπὸ συμφώνου ἄρχηται, ὁποία ἐςὶ κατὰ χρόνον ἡ ἄρχεσα τέτε;

μ. Ἡ βραχεῖα, οἷον τέτυφα· ἢ κοινὴ, οἷον γέγραφα. τὸ δὲ πέπταμαι, πέπτωκα, κέκτημαι, μέμνημαι, μεμνήσομαι, καίπερ Ἄφωνον ὐκ ἔχουσι πρὸ Ἀμεταβόλε, ποιοῦσι μέντοι κοινὴν συλλαβὴν, διὰ τὸ ἄρχεσθαι ἀπὸ συμφώνου. ἅπερ ἀναδεδιπλασίαςαι παρὰ κανόνα δι εὐφωνίαν.

δ. Πότε δὲ ὐκ ἀναδιπλασιάζεται;

μ. Ὅτε ὁ Παρατατικὸς τούτου ἄρχεται ἀπὸ μακρᾶς φύσει, ἢ θέσει. οἷον ἠγόραζον, ἠγόρακα. ἑσπέρον,

μ. Τρεῖς, αι. αυ. οι. οἷον, αἴρω, ἦρον. αὐλέω, ῶ, ηὔλεον, ουν οἰκτείρω, ᾤκτειρον. πλὴν τῶν σεσημειωμένων ἀτρέπτων.

δ. Πόσα εἰσὶ ταῦτα;

μ. Δυοκαίδεκα, οἷον οἴομαι, οἰώθην. οἰμῶ, οἴμωσα. οἰνῶ, οἴνησα. οἰστρῶ, οἴστρησα. οἰωνίζομαι, οἰωνισάμην. οἰωνοσκοπῶ, οἰωνοσκόπησα. οἰωνοπολῶ, οἰωνοπόλησα. οἰακίζω, οἰάκισα. οἰακονομῶ, οἰακονόμησα. οἰακοστροφῶ, οἰακοστρόφησα. οἰδαίνω, οἴδαινον. καὶ οἰκουρέω, ῶ, οἰκούρεον, ουν.

δ. Πόσαι ἄτρεπτοι;

μ. Τρεῖς, ευ, ει, ου. οἷον εὕδω, εὗδον, καὶ ηὗδον ἀττικῶς. εἰκάζω, εἴκαζον. οὐρέω, ῶ, οὔρεον, ουν.

δ. Πότε γίνεται ἡ συλλαβικὴ αὔξησις;

μ. Ὅταν τὸ Ῥῆμα ἀπὸ συμφώνου ἄρχηται, οἷον τύπτω, ἔτυπτον.

δ. Πότε ἀναδιπλασιάζεται ὁ Παρακείμενος;

μ. Ὅτε ὁ Παρατατικὸς τούτου ἄρχεται ἀπὸ βραχείας, ἢ κοινῆς· οἷον ἔτυπτον, τέτυφα. ἔγραφον, γέγραφα. Πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ γνω, καὶ γρη, διὰ κακοφωνίαν οὐκ ἀναδιπλασιαζομένων, οἷον γνωρίζω, ἐγνώριζον, ἐγνώρικα. γρηγορέω, ῶ, ἐγρηγόρηκα. Καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ ρ, οἷον ῥητορεύω, ἐρρητόρευκα. Τὰ δὲ ῥερυπωμένα, καὶ ἄλλα, ποιητικά εἰσι. Καὶ πλὴν τῶν ἀρχομένων ἀπὸ διπλῶν ζ, ξ, ψ, οἷον ζῶ, ἔζηκα. (καίπερ εὕρηταί που ζεζοφωμένη ὄψις, ἀλλὰ σπανίως) ξέω,

ἔξε-

φυλάττουσιν αὐτὴν καὶ οἱ λοιποὶ παρῳχημένοι χρόνοι;

μ. Ναὶ φυλάττουσι πάντες ἀπαραλλάκτως, οἷον ὠνόμακα, ὠνομάκειν, ὠνόμασα.

δ. Ἐν ποίοις τῶν Ῥημάτων γίνεται ὁ ἀττικὸς Παρακείμενος;

μ. Ἐν τοῖς ἀρχομένοις ἀπὸ τῶν τρεπτῶν φωνηέντων.

δ. Τίνι τρόπῳ οἱ Ἀττικοὶ ποιοῦσι τὸν ἴδιον Παρακείμενον;

μ. Προστιθέντες τὰ δύο ἀρκτικὰ γράμματα τοῦ Ἐνεστῶτος τῷ κοινῷ Παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν συστέλλοντες τοῦ τετρασυλλάβου, εἰ μακρὰ εἴη· οἷον ἀκούω, ἤκουκα κοινῶς, καὶ ἀκήκοα ἀττικῶς. ἐνέγκω, ἤνοχα κοινῶς, καὶ ἐνήνοχα ἀττικῶς. ὀρύσσω, ὤρυχα κοινῶς, καὶ ὀρώρυχα ἀττικῶς. Ὁμοίως καὶ ἐν τοῖς παθητικοῖς, οἷον ἀλείφω, ἤλειφα, ἀλήλιφα, ἤλειμμαι, ἀλήλιμαι. Οὐ μέντοι πάντες οἱ ἐνεργητικοὶ ἀττικοὶ Παρακείμενοι εἰσὶν εὔχρηστοι, καὶ τοῖς παθητικοῖς, ὡς τὸ ἀκήκοα· οὐ γὰρ εὕρηταί που ἐν χρήσει ἀκήκοσμαι. ἐν ἐνίοις δὲ μόνον ε προστιθέασιν, οἷον ὁράω, ῶ, ὥρακα, ἑώρακα.

δ. Ὅταν δὲ ἀπὸ διφθόγγου ἄρχηται τὸ Ῥῆμα, γίνεταί τις αὔξησις τούτου;

μ. Εἰ μὲν ἀπὸ τρεπτῆς ἄρχηται, γίνεται. εἰ δὲ ἀπὸ ἀτρέπτου, οὐ γίνεται.

δ. Πόσαι τούτων εἰσὶ τρεπταί;

 μ. Τρεῖς,

μ. Ἔγωγε, τὰ μὲν τρεπτὰ, Μεταβολικά· τὰ δὲ ἄτρεπτα, Ἀμετάβολα.

δ. Ὅταν ἀπὸ τοῦ α τὸ Ῥῆμα ἄρχηται, εἰς τί τρέπεται ἐν τῷ Παρατατικῷ;

μ. Εἰς η, οἷον ἀνύω, ἤνυον. πλὴν τοῦ ἀηθέσσω, ἀήθεσσον. καὶ ἀηδίζομαι, ἀηδιζόμην. καὶ ἄω, τὸ πνέω, ἆον. καὶ ἀΐω, τὸ ἀκούω, ἀΐον.

δ. Διατὶ τὸ ἀηθέσσω, καὶ ἀηδίζομαι οὐ τρέπουσιν ἐν τῷ Παρατατικῷ τὸ α εἰς η;

μ. Διὰ τὴν ἐπαλληλίαν τῶν δύο ηη.

δ. Τὸ δὲ ἄω, καὶ ἀΐω, διατί;

μ. Ἵνα μὴ τὸ μὲν ἄω τῷ ἦον, τὸ δὲ ἀΐω τῷ ἤϊον, τῷ ἐπορευόμην, συνεμπέσωσιν.

δ. Ὅταν δὲ ἀπὸ τοῦ ε ἄρχηται, εἰς τί;

μ. Καὶ αὐτὸ εἰς η, οἷον ἐλεέω, ῶ. ἠλέεον, ουν. Πλὴν τῶν σεσημειωμένων, ἐν οἷς προσλαμβάνει τὸ ε ἐν τῷ Παρατατικῷ ι.

δ. Πόσα εἰσὶ ταῦτα;

μ. Ἑκκαίδεκα, οἷον ἔχω, εἶχον. ἔπω, εἶπον. ἕλω, εἷλον. ἐσήκω, εἰσήκην. ἕπομαι, εἱπόμην. ἐάω, ῶ, εἴαον, ων. ἑστιάω, ῶ, εἱστίαον, ων. ἑρπύζω, εἵρπυζον. ἕρπω, εἷρπον. ἕλκω, εἷλκον. ἑλκύω, εἵλκυον. ἐρύω, εἴρυον. ἐθίζω, εἴθιζον. ἔθω, εἴωθα. ἕω, εἷμαι. ἐργάζομαι, εἰργαζόμην.

δ. Ὅταν δὲ ἀπὸ τοῦ ο ἄρχηται, εἰς τί;

μ. Εἰς ω, οἷον ὀνομάζω, ὠνόμαζον.

δ. Ὅταν ὁ Παρατατικὸς χρονικὴν αὔξησιν λαμβάνῃ,

φυ-

# Τεχνολογία Μ΄. τῆς τῶν Ῥημάτων αὐξήσεως.

δ. Πόσαπλῆ ἐστιν ἡ τῶν Ῥημάτων αὔξησις;

μ. Διττὴ, ἡ μὲν συλλαβικὴ, ἡ δὲ χρονική.

δ. Τί ἐστι συλλαβικὴ αὔξησις;

μ. Συλλαβικὴ αὔξησίς ἐστιν, ὅταν ὁ Παρατατικὸς πλεονεκτῇ συλλαβῇ τοῦ Ἐνεστῶτος;

δ. Τί ἐστι χρονικὴ αὔξησις;

μ. Χρονικὴ αὔξησίς ἐστιν, ὅταν τὸ βραχὺ φωνῆεν τοῦ Ἐνεστῶτος ἐν τῷ Παρατατικῷ, εἰς μακρὸν τρέπηται.

δ. Πότε γίνεται ἡ χρονικὴ αὔξησις;

μ. Ὅταν τὸ ῥῆμα ἀπὸ τρεπτοῦ φωνήεντος ἄρχηται.

δ. Πόσα τῶν φωνηέντων εἰσὶ ζ ἑπτά;

μ. Τρία, τὸ α, τὸ ε, καὶ τὸ ο,

δ. Πόσα ἄτρεπτα;

μ. Τέτταρα, τὸ η, ι, υ, καὶ ω.

δ. Διατί ταῦτα λέγονται ἄτρεπτα;

μ. Ὅτι οὐ τρέπονται ἐν τοῖς παρῳχημένοις χρόνοις, οἷον, ἠχέω, ῶ, ἤχεον, ουν. ἰξεύω, ἴξευον. ὑβρίζω, ὕβριζον. ὠφελέω, ῶ, ὠφέλεον, ουν.

δ. Διατὶ τὸ α, ε, καὶ ο, λέγονται, τρεπτά;

μ. Ὅτι τρέπονται ἐν τῷ Παρατατικῷ, καὶ τοῖς λοιποῖς παρῳχημένοις.

δ. Λέγονται καὶ ἄλλως τὰ τρεπτὰ, καὶ ἄτρεπτα φωνήεντα;

 μ. Ἔγωγ.

δ. Διατὶ τὰ δύο διαφόρων κλίσεων ὀνόματα εἰς μίαν κλίνονται κλίσιν;

μ. Ὅτι τοῦ μὲν ἀρσενικοῦ ἡ Ὀνομαστικὴ, ἡ Αἰτιατικὴ, καὶ ἡ Κλητικὴ, τῆς Πρώτης κλίσεως, οἷον ὁ μέγας, τὸν μέγαν, ὦ μέγα, ἐστὶν ἐν χρήσει. ἡ δὲ Ὀνομαστικὴ, ἡ Αἰτιατικὴ, καὶ ἡ Κλητικὴ τῆς Τετάρτης, οἷον ὁ μεγάλος, τὸν μεγάλον, ὦ μεγάλε, ἐστὶν ἄχρηστος. Καὶ αἱ πληθυντικαὶ τῆς Πρώτης, εἰσὶν ἄχρηστοι, αἱ δὲ πληθυντικαὶ τῆς Τετάρτης ἐν χρήσει. καὶ διὰ τοῦτο γέγονε μία κλίσις τῶν δύο εὐχρηστος. Τοῦ δὲ θηλυκοῦ ἡ Ὀνομαστικὴ τῆς Δευτέρας, οἷον ἡ γυνὴ, ἐστὶν ἐν χρήσει, ἡ δὲ Ὀνομαστικὴ τῆς Πέμπτης τῶν Περιττοσυλλάβων, οἷον ἡ γυναὶξ, ἐστὶν ἄχρηστος. Καὶ αἱ πλάγιαι τῆς Δευτέρας ἄχρηστοι, αἱ δὲ πλάγιαι τῆς Πέμπτης ἐν χρήσει.

δ. Διατὶ τὸ μὲν ἀρσενικὸν, οἷον ὁ μέγας, τῆς Τετάρτης· τὸ δὲ θηλυκὸν, οἷον ἡ γυνὴ, τῆς Πέμπτης φαμὲν εἶναι κλίσεως, ἀλλ' οὐ τῆς Πρώτης, καὶ Δευτέρας;

μ. Ὅτι αἱ πλείους πτώσεις τῆς Τετάρτης, καὶ τῆς Πέμπτης εἰσὶν ἐν χρήσει, τῆς δὲ Πρώτης, καὶ Δευτέρας αἱ ἐλάττους. αἱ δὲ πλείους τῶν ἐλαττόνων ἐπικρατοῦσιν.

Τε-

κλίνεται, οἷον τὰ δεσμά. καίπερ ἐν χρήσει εὑρίσκεται τὰ πληθυντικὰ τοῦ ἀρσενικοῦ· οἷον καὶ τοὺς δεσμοὺς ἡμῶν διέῤῥηξεν· ἀλλ' ἐπ' ἔλαττον.

δ. Τὰ δὲ ἑνικὰ τῶν οὐδετέρων εἰσὶν ἐν χρήσει;

μ. Ἥκιστα.

δ. Ποῖα δὲ τὰ κατὰ πτῶσιν;

μ. Ὁ κύων, τοῦ κυνός. ὁ ζεύς, τοῦ διός. ὃ καὶ ἑτερόκλιτον· ἑνικῶς γὰρ μόνον κλίνεται.

δ. Διατὶ λέγονται κατὰ πτῶσιν ἀνώμαλα;

μ. Ὅτι τῇ πτώσει διαφέρουσιν. ὁ γὰρ ζεύς, τοῦ ζεός· καὶ ὁ δίς, τοῦ διός, ὤφειλον κλίνεσθαι· ἀλλ' οὐχ οὕτω, διὰ τὸ τῶν πτώσεων ἄχρηστον.

δ. Ποῖα δὲ τὰ κατὰ κλίσιν;

λ. Ὁ μέγας, τοῦ μεγάλου. ἡ γυνὴ τῆς γυναικός. καὶ ἄλλα.

δ. Διατὶ λέγονται κατὰ κλίσιν ἀνώμαλα;

μ. Ὅτι ἐξ ἑτέρας εἰς ἑτέραν μεταβαίνουσι κλίσιν. ἡ γὰρ γυνὴ τῆς Δευτέρας κλίσεως τῶν Ἰσοσυλλάβων οὖσα, εἰς τὴν Πέμπτην τῶν Περιττοσυλλάβων μετέβη. καὶ ὁ μέγας ἀπὸ τῆς Πρώτης, εἰς τὴν Τετάρτην τῶν Ἰσοσυλλάβων.

δ. Εἰ δύο κλίσεων εἰσὶν ὀνόματα, ἡ γυνὴ τῆς γυναικός, πῶς ὤφειλον κλίνεσθαι ἐν ἑκατέρᾳ;

μ. Ἡ γυνή, τῆς γυνῆς. καὶ ἡ γύναιξ, τῆς γυναικός. ἐξ ἧς Ὀνομαστικῆς, ἡ Κλητικὴ ὦ γύναι, ἀποβολῇ τοῦ ξ. οὕτω καὶ ὁ μέγας, τοῦ μέγα. καὶ ὁ μεγάλος, τοῦ μεγάλου.

δ. Ποῖα εἰσὶ τὰ Ἄκλιτα;

μ. Ὄναρ, ὄφελος, βρέτας, δέμας, καὶ ἄλλα.

δ. Εἰς πόσα διαιροῦνται τὰ Κλιτά;

μ. Εἰς δύο, εἰς Ταυτόκλιτα, καὶ Ἑτερόκλιτα.

δ. Ποῖα εἰσὶ τὰ Ἑτερόκλιτα;

μ. Τὰ δὶ ἑνὸς ἀριθμοῦ κλινόμενα· ὡς τὰ Ἀριθμητικὰ, εἷς, δύο, τρεῖς. ὁ μὲν γὰρ εἷς, ἡ μία, καὶ τὸ ἓν, ἑνικῶς· οἱ δὲ δύο, καὶ τρεῖς, πληθυντικῶς μόνον κλίνονται. Καὶ τὰ τῶν πόλεων, οἷον Κωνσταντινούπολις, Θεσσαλονίκη, Ἀθῆναι, Ἰωάννινα, Θῆβαι. τούτων μὲν τὰ ἑνικὰ, ἐκείνων δὲ τὰ πληθυντικὰ ἐκλέλοιπε. Καὶ τὰ Κύρια πάντα, οἷον Ἀλέξανδρος, Νικόλαος. τὰ γὰρ πληθυντικὰ τούτων οὐκ ἔτι κύρια, ἀλλ' ὁμώνυμα. Ἔτι δὲ καὶ τὰ Μετάλλων σημαντικὰ, οἷον χρυσὸς, ἄργυρος, ἑνικῶς μόνον εἰσὶ κλινόμενα.

δ. Εἰς πόσα διαιροῦνται τὰ Αὐτόκλιτα;

μ. Εἰς δύο, εἰς ὁμαλὰ, οἷον ζῶον, ἄνθρωπος· καὶ εἰς ἀνώμαλα.

δ. Ποσαχῶς τὰ Ἀνώμαλα;

μ. Τριχῶς. τὰ μὲν κατὰ κλίσιν, τὰ δὲ κατὰ πτῶσιν, τὰ δὲ κατὰ γένος.

δ. Ποῖα εἰσὶ τὰ κατὰ γένος Ἀνώμαλα;

μ. Ὁ τάρταρος, τὰ τάρταρα· ὁ δεσμὸς, τὰ δεσμά.

δ. Διατὶ λέγονται κατὰ γένος ἀνώμαλα;

μ. Ὅτι τῷ γένει ἀλλήλων διαφέρουσιν. ὁ γὰρ δεσμὸς ἀρσενικὸν ὄνομα ὂν, οὐδετέρως ἐν τοῖς πληθυντικοῖς

κλίνε-

Πεσημόριον.

δ. Ποῖά εἰσι τὰ τούτων ἀποδοτικά;

μ. Τοῦ μὲν Πηλίκου, μέγας, μικρός. τοῦ δὲ Πόσου, τρία, τέσσαρα. τοῦ δὲ Πόστου, τρίτον, τέταρτον. τοῦ δὲ Ποσαίου, τριταῖον, τεταρταῖον. τοῦ δὲ Ποσημορίου, διχῶς, ἢ τὸ τρίτον, τὸ τέταρτον· ἢ τὸ τριτημόριον, τὸ τεταρτημόριον.

δ. Διὰ τί οὖν, ποίας Κλίσεως, καὶ ποίας Συζυγίας, ἀλλ' οὐ πόστης Κλίσεως, καὶ πόστης Συζυγίας ἐρωτῶντες λέγομεν, εἴπερ οἱ ἐρωτώμενοι, τρίτης, ἢ τετάρτης ἀποκρίνονται;

μ. Διὰ κοινὴν συνήθειαν. οὕτω γὰρ τοῖς γραμματικοῖς τεχνολογοῦσιν ἐρωτᾶν μεταφορικώτερον εἴθισται.

δ. Διατί τὰ πρός τι, ἐν τε τοῖς προσηγορικοῖς, καὶ ἐπιθέτοις τέτακται;

μ. Ὅτι διττά εἰσι, τὰ μὲν οὐσιαστικά, τὰ δὲ ἐπίθετα. καὶ τὰ μὲν οὐσιαστικὰ εἰκότως ἐν τοῖς οὐσιαστικοῖς, τὰ δὲ ἐπίθετα ἐν τοῖς ἐπιθέτοις τέτακται.

## Τεχνολογία Λ'. τῆς ὁλικῆς διαιρέσεως τῶν Ὀνομάτων.

δ. Εἰς πόσα διαιροῦνται τὰ Ὀνόματα;

μ. Εἰς δύο, εἰς Ἁπλᾶ, καὶ Συνηρημένα.

δ. Ποῖά εἰσι τὰ Συνηρημένα;

μ. Τὰ ἐμπαθῆ· περὶ ὧν ἱκανῶς εἴρηται ἀνωτέρω.

δ. Εἰς πόσα διαιροῦνται τὰ Ἁπλᾶ.

μ. Εἰς δύο, εἰς Κλιτὰ, καὶ εἰς Ἄκλιτα·

βοῦς, ἵππος. Πρός τι, πατὴρ, υἱός. Ὡς πρός τι, ζωὴ, θάνατος. Ἀπολελυμένα, Θεὸς, Ἄγγελος. Περιληπτικὰ, δῆμος, ὄχλος. Περιεκτικὰ, δαφνὼν, κοιτών. Ὡς περιεκτικὰ, ἀπαπεὼν, κυκεών. Ἐθνικὰ, φρὺξ, πέρσης. Πεποιημένα, φλοῖσβος, ῥοῖζος. Ὁμώνυμα, Αἴας ὁ τοῦ Τελαμῶνος, καὶ Αἴας ὁ τοῦ Ὀϊλέως. Συνώνυμα, εἴτε πολυώνυμα, ἄορ, ξίφος, φάσγανον, μάχαιρα, σπάθη. Φερώνυμα, μεγαπένθης, νικόλαος. Ἐπώνυμα, πρόδρομος, χρυσόστομος. Διώνυμα, Ἀλέξανδρος, ὁ καὶ Πάρις, Σκάμανδρος ὁ καὶ Ξάνθος.

δ. Πόσα τὰ εἴδη τοῦ Ἐπιθέτου;

μ. Δυοκαίδεκα· Τακτικὰ, πρῶτος, δεύτερος. Πρός τι, μέγας, μικρός. Τόπου, πεδινὸς, ὀρεινός. Χρόνου, χθεσινὸς, σημερινός. Ἐνεργητικὰ, ποιητικὸς, δραστικός. Παθητικὰ, ποιητὸς, ἀκουστός. Μετουσιαστικὰ, λίθινος, δρύϊνος. Ἐπιμεριζόμενα, ἕτερος, ἑκάτερος, ἕκαστος, ἄλλος. Ἐρωτηματικὰ, τίς, ποῖος. Ἀόριστα, τὶς, ὁποῖος. Ποσότητος, εἷς, δύο, τρεῖς. Ποιότητος, γραμματικὸς, λογικὸς, φιλόσοφος, θεολόγος.

δ. Ποσαχῶς τὰ ἐπιμεριζόμενα μερίζονται;

μ. Τετραχῶς, εἷς ἐκ δύο, ὡς ἕτερος. δύο καθ' ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν, ὡς ἄλλος. πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος.

δ. Πόσα τὰ ἐρωτηματικὰ τοῦ ποσοῦ;

μ. Πέντε· Πηλίκον, Πόσον, Πόσον, Ποσαῖον, Πο-

τικοῦ Παρακειμένου;

μ. Πέντε· α, οἷον πεποίημαι, ποίημα. ος, οἷον κεχώρισμαι, χωρισμός. ων, οἷον νενόημαι, νοήμων, ἐπίθετον δίφωνον τριγενές. η, οἷον μέμνημαι, μνήμη. ονη, οἷον πέπλησμαι, πλησμονή.

ἐ. Πόσοι ἀπὸ τοῦ δευτέρου;

μ. Τρεῖς· ις, οἷον πεποίησαι, ποίησις. ια, οἷον εἴργασαι, ἐργασία. ιον, γεγύμνασαι, γυμνάσιον.

ἐ. Πόσοι δὲ ἀπὸ τοῦ τρίτου;

μ. Δυοκαίδεκα. ος, οἷον κέχρισται, χριστός· νενόηται, νοητός. εος, οἷον νοητέος. ντης, οἷον κεκυβέρνηται, κυβερνήτης. ντις θηλυκὸν, οἷον κυβερνῆτις. ης, οἷον πεποίηται, ποιητής ἠλευθέρωται, ἐλευθερωτής. ωρ, οἷον πέπρακται, πράκτωρ. ηρ. οἷον σέσωσται, σωτὴρ, ἀποβολῇ τοῦ σ. ειρα, οἷον σώτειρα. εια, οἷον ὤρχησαι, ὀρχήστεια. εις, ὀρχησεις. ρα, ὀρχήστρα, τοπικόν. ρον, οἷον πέπληκται, πλῆκτρον.

## ΠΕΡῚ ΤΩ͂Ν ΕἼΔΩΝ ΤΗ͂Σ ΣΗΜΑΣΊΑΣ.

ἐ. Πόσα τὰ εἴδη τῆς Σημασίας;

μ. Δύο, Οὐσιαστικὸν, καὶ Ἐπίθετον.

ἐ. Πόσα τὰ εἴδη τοῦ Οὐσιαστικοῦ;

μ. Δύο· κύριον, οἷον Σωκράτης, Πλάτων. καὶ Προσηγορικόν.

ἐ. Πόσα τὰ εἴδη τοῦ Προσηγορικοῦ;

μ. Πεντεκαίδεκα· Γενικὰ, οἷον ζῶον, φυτόν. Εἰδικὰ, βοῦς,

οἰκέτης· ἱππὴν, ὑπὶωνήτης· πόλις, πολίτης· ἵππος, ἱππότης· στρατιὰ, στρατιώτης· ιας, πίτυρον, πιτυρίας· τραῦμα, τραύματος, τραυματίας.

## ΠΕΡΙ῾ ΡΗΜΑΤΙΚΟΥ.

δ. ΤΙ᾽ ἐστι Ρ῾ηματικόν;

μ. Ρ῾ηματικὸν ὄνομά ἐστι, τὸ ἀπὸ τοῦ Ρ῾ήματος παραγόμενον.

δ. Πόσοι οἱ τύποι τῶν διαθέσεων;

μ. Δύο, Ε᾽νεργητικὸς, καὶ Παθητικός.

δ. Ε᾽κ ποίου τύπου παράγονται τὰ Ρ῾ηματικὰ ὀνόματα;

μ. Ε᾽ξ ἑκατέρου· ἀλλ᾽ ὅσα μὲν ἐκ τοῦ Ε᾽νεργητικοῦ τύπου παράγονται, οὐσιαστικά εἰσιν· οἷον λέγω, λόγος· πνέω, πνοή· νηστεύω, νηστεία· κηρύττω, κηρύξω, κῆρυξ. Ο῟σα δὲ ἐκ τοῦ Παθητικοῦ παράγονται, οὐσιαστικά τε εἰσὶ, καὶ ἐπίθετα· οἷον πεποίηται, ποιητὴς, ποιητός. Ι᾽δοὺ τὸ μὲν ποιητὴς, οὐσιαστικὸν· τὸ δὲ ποιητὸς, τριγενὲς ἐπίθετον.

δ. Ε᾽κ ποίων χρόνων, ἀριθμῶντε, καὶ προσώπων τοῦ Παθητικοῦ τύπου παράγονται τὰ Ρ῾ηματικά;

μ. Ε᾽κ τῶν οἰκῶν τριῶν προσώπων τοῦ Παθητικοῦ Παρακειμένου, ἀποβολῇ αὐξήσεως χρονικῆς, ἢ συλλαβικῆς. χρονικῆς μὲν, ἤκουσμαι, ἄκουσμα. συλλαβικῆς δὲ, βέβημαι, βῆμα.

δ. Πόσοι τύποι τῶν παραγομένων Ρ῾ηματικῶν ὀνομάτων ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ

δ. Πόσοι τύποι τῶ Παρωνύμε;

μ. Πέντε καὶ δέκα. οτης, οἷον τερπνὸς, τερπνότης· ὅσιος ὁσιότης. υτης, οἷον θρασὺς, θρασύτης· βραδὺς, βραδύτης. οσιύη, προηγεμένης βραχείας, καὶ οσιύη, προηγουμένης μακρᾶς, ἢ κοινῆς, οἷον ἅγιος, ἁγιωσιύη· σώφρων σωφροσιύη· ἄφρων, ἀφροσιύlω. ια, ἀπὸ τῶν εἰς ος ἐπιθέτων, οἷον κακὸς, κακία· πικρὸς, πικρία· ὑπερηφανος, ὑπερηφανία. καὶ ἀπὸ τῶν εἰς ης, οἷον εὐτυχὴς, εὐτυχία· ἀμαθὴς, ἀμάθια· εὐώδης, εὐωδία. εια, ἀπὸ τῶν εἰς ης ἐπιθέτων, οἷον εὐγενὴς, εὐγένεια· ἀληθὴς, ἀλήθεια. οια, ἀπὸ τῶν εἰς ους ὁλοπαθῶν, οἷον εὔνους, εὔνοια. σια, ξια, ψια, ἀπὸ τῶν ῥηματικῶν εἰς τος, σος, κτος, πτος, οἷον ἀγέννητος, ἀγεννησία· ἀθάνατος, ἀθανασία· ἀκόλαστος, ἀκολασία· ἄπρακτος, ἀπραξία· ἄβλεπτος, ἀβλεψία. ων, ἐπώνυμα, οἷον πλατὺς, πλάτων· φίλος, φίλων. ων, περιεκτικά, οἷον ἐλαία, ἐλαιών· δάφνη, δαφνών. ειον, τοπικὰ καὶ ὀργανικὰ, οἷον χαλκεὺς, χαλκεῖον· πυρὰ, πυρεῖον. εων, οἷον ἀπάτη, ἀπατεών· λύμη, λυμεών. ιον, ἔμπορος, ἐμπόριον. ευς, φρώρα, φρωρεύς· ἀλεξάνδρεια, ἀλεξανδρεύς· ἀντιόχεια, ἀντιοχεύς. της, προηγουμένων α, ε, η, ι, ο, ω· οἷον σπάρτη, σπαρτιάτης· οἶκος, οἰκέτης.

## ΠΕΡΙ΄ Υ΄ΠΟΚΟΡΙΣΤΙΚΟΥ.

δ. Τί ἐστιν Υ΄ποκοριστικόν;

μ. Υ΄ποκοριστικὸν ὄνομά ἐστι τὸ ἀπὸ κυρίων, καὶ προσηγορικῶν παραγόμενον ὀνομάτων, καὶ μείωσιν τοῦ Πρωτοτύπου δηλοῦν.

δ. Διατὶ λέγεται Υ΄ποκοριστικόν;

μ. Ο῞τι δι' αὐτοῦ ὑποκορίζόμεθα, ἤτοι κολακεύομεν.

δ. Πόσαι καταλήξεις τῶν ἀρσενικῶν;

μ. Πέντε· ας, οἷον μηνᾶς. ων, οἷον μωρίων. αξ, οἷον λίθαξ. σκος, οἷον ἀνθρωπίσκος. λος, οἷον ναυτίλος.

δ. Πόσαι καταλήξεις τοῦ θηλυκοῦ;

μ. Δύο· ις, οἷον θεραπαινίς. σκη. οἷον παιδίσκη.

δ. Πόσαι καταλήξεις τῶν οὐδετέρων;

μ. Μία· ον.

δ. Παραλήξεις δὲ τούτων πόσαι;

μ. Δέκα· νι, οἷον ὀψώνιον. κι, οἷον μειράκιον. δει, οἷον λογίδειον. μι, οἷον μειρακύλλιον. φι, οἷον ζωύφιον. χνι, οἷον πολύχνιον. πι, οἷον ἀνθρώπιον. δι, οἷον κρεάδιον. ρι, οἷον παιδάριον. σι, οἷον κοράσιον.

## ΠΕΡΙ΄ ΠΑΡΩΝΥ΄ΜΟΥ.

δ. Τί ἐστι Παρώνυμον;

μ. Παρώνυμον ὄνομά ἐστι τὸ ἐξ ἑτέρου ὀνόματος παραγόμενον οὐσιαστικόν.

δ. Πό-

Ἀπὸ τοῦ οὐδετέρου τῶν εἰς ης διγενῶν, ἀληθὴς, ἀληθέστερος. Ἀπὸ τῶν εἰς ων, σώφρων, σώφρονος, σωφρονέστερος. Ἀπὸ τῶν εἰς εις, χαρίεις, χαρίεντος, χαριέστερος. Ἀπὸ τῶν εἰς ους, εὔνους, εὐνούστερος. Ἀπὸ Μετοχῆς, ἐῤῥωμενέστερος. Ἀπὸ τῶν εἰς υς, μὴ φυλαττομένου τοῦ σ, ἡδὺς, ἡδύτερος. Ἀπὸ Ῥημάτων, φέρω, φέρτερος. Ἀπὸ προθέσεων, ὑπέρτερος. Ἀπὸ Ἐπιῤῥημάτων, ἐγγύτερος.

## ΠΕΡῚ ὙΠΕΡΘΕΤΙΚΟΥ͂.

δ. Τί ἐστιν Ὑπερθετικόν;

μ. Ὑπερθετικὸν ὄνομά ἐστι, δι' οὗ ὑπέρθεσις πρὸς ὁμοφυεῖς γίνεται.

δ. Πόσαι καταλήξεις τοῦ Ὑπερθετικοῦ;

μ. Δύο· τατος, καὶ στος.

δ. Πόθεν σχηματίζεται τὸ εἰς τατος;

μ. Ἀπὸ τοῦ εἰς τερος Συγκριτικοῦ, οἷον πραότερος, πραότατος.

δ. Πόθεν σχηματίζεται τὸ εἰς στος;

μ. Ἀπὸ τοῦ εἰς ων Συγκριτικοῦ ἀνωμάλου· οἷον μέγας, μείζων, μέγιστος.

δ. Τὰ διὰ τοῦ ότερος Συγκριτικὰ, καὶ ότατος Ὑπερθετικὰ, διὰ τοῦ ο, ἢ διὰ τοῦ ω γράφονται;

μ. Εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω, οἷον σοφώτατος· εἰ δὲ μακρὰν φύσει, ἢ θέσει, διὰ τοῦ ο γράφονται· οἷον δικαιότατος, λαμπρότατος.

δ. Πόσαι καταλήξεις τῶν Κτητικῶν;

μ. Δύο. κος, καὶ ος.

δ. Πόσαι παραλήξεις τῶν εἰς κος;

μ. Τρεῖς, ι. α. υ, οἷον μουσικὸς, κυπριακὸς, θηλυκός.

δ. Σχημάτισον τὸ Κτητικὸν πῶς γίνεται ἀπὸ τοῦ Πρωτοτύπου;

μ. Κύπρος, κύπρειος. ὡς λόγος, λόγιος καὶ ἐκβολῇ τοῦ ος, καὶ ἐπιθέσει τοῦ α, καὶ τοῦ κος, κυπριακός. Ἔτ' ἄλλα ὁμοίως.

δ. Πόσαι δὲ τῶν εἰς ος;

μ. Ἕξ, ι. ε. ει. αι. οι. ω, οἷον λόγιος, ἑκτόρεος, ἡράκλειος, ῥωμαῖος, ἀλλοῖος, πατρῷος.

## ΠΕΡΙ ΣΥΓΚΡΙΤΙΚΟΥ.

δ. Τί ἐστι Συγκριτικόν;

μ. Συγκριτικὸν ὄνομά ἐστι, δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμοφυεῖς, καὶ ἑτεροφυεῖς.

δ. Πόσαι καταλήξεις τῶν Συγκριτικῶν;

μ. Δύο· ων ἀνώμαλος, οἷον μείζων. καὶ τερος κοινὴ, οἷον σοφώτερος.

δ. Πόθεν παράγονται τὰ Συγκριτικά;

μ. Ἀπὸ τῶν τριγενῶν ὀνομάτων, ὅσα τὴν τοῦ μᾶλλον ἐπίτασιν ἐπιδέχονται.

δ. Ποσαχῶς ταῦτα σχηματίζονται;

μ. Δεκαχῶς· ἀπὸ τῶν ληγόντων εἰς ος, ἐκβολῇ τοῦ σ, καὶ προσθέσει τοῦ τερος, οἷον πρᾶος, πραότερος.

Π

Ἀπὸ

δ. Πότε λήγει τὸ Θηλυκὸν εἰς ας;

μ. Ὅταν τὸ ἀρσενικὸν παραλήγῃ τῷ α, οἷον Ἀθανασιάδης, καὶ ἐκβολῇ τοῦ δη, ἀθανασιάς.

δ. Πότε δὲ εἰς ις;

μ. Ὅταν τὸ ἀρσενικὸν παραλήγῃ τῷ ι, οἷον Πριαμίδης, καὶ ἐκβολῇ τοῦ δη, πριαμίς.

δ. Οὐκοῦν αἱ παραλήγουσαι τῶν ἀρσενικῶν, γίνονται λήγουσαι τῶν θηλυκῶν;

μ. Οὔπω.

δ. Ποῖα δὲ εἰς νη λήγουσι;

μ. Τὰ ἀπὸ τῶν εἰς ος μὴ καθαρῶν παραγόμενα, οἷον Ἄδρασος, ἀδράστου, ἀδραστίνη. Τὰ δὲ ἀπὸ τῶν εἰς ος καθαρῶν, διὰ τοῦ ωνη γίνονται, οἷον Ἀκρίσιος, ἀκρισίου, ἀκρισιώνη αἰολικὴ γὰρ οὖσα ἡ εἰς νη κατάληξις, ἀπὸ τῆς Γενικῆς τῶν κυρίων σχηματίζεται ὀνομάτων.

## ΠΕΡΙ ΚΤΗΤΙΚΟΥ.

δ. Τί ἐστι Κτητικόν.

μ. Κτητικὸν ὄνομά ἐστι τὸ ἀπὸ κυρίων, καὶ προσηγορικῶν παραγόμενον ὀνομάτων, καὶ κτῆσιν τοῦ πρωτοτύπου δηλοῦν.

δ. Τί διαφέρουσι τὰ Κτητικὰ τῶν Παρωνυμικῶν;

μ. Ὅτι τὰ μὲν Κτητικὰ ἀπὸ κυρίων, καὶ προσηγορικῶν παράγονται ὀνομάτων· τὰ δὲ Παρωνυμικὰ ἀπὸ κυρίων μόνον. Καὶ ὅτι τὰ μὲν Κτητικὰ εἰσὶ πάντα ἐπίθετα τριγενῆ, τὰ δὲ Παρωνυμικὰ οὐσιαστικὰ μονογενῆ.

δ. Πότε παραλήγει τῷ ι τὸ Πατρωνυμικὸν ἀρσενικόν;

μ. Ὅτε ἡ Γενικὴ τοῦ ὀνόματος, ἐξ οὗ παράγεται τὸ Πατρωνυμικὸν, λήγει εἰς ως, ἢ εἰς ους, ἢ εἰς ος, ἢ εἰς ου, τῆς Τετάρτης κλίσεως τῶν Ἰσοσυλλάβων, μὴ παραληγούσης τῷ ι, οἷον Πρίαμος, Πριάμου, Πριαμίδης. ἀγαμέμνων, Ἀγαμέμνονος, Ἀγαμεμνονίδης. Δημοσθένης, Δημοσθένους, Δημοσθενίδης. Πηλεὺς, πηλέως, πηλείδης.

δ. Πότε δὲ τῷ α;

μ. Ὅτε τοὔνομα, ἐξ οὗ παράγεται τὸ Πατρωνυμικὸν, τῆς τετάρτης κλίσεως ὂν, παραλήγει τῷ ι, οἷον Ἀθανάσιος, ἀθανασίου, ἀθανασιάδης. Καὶ ὅτε τὸ Πατρωνυμικὸν παράγεται ἀπὸ ὀνομάτων τῆς πρώτης κλίσεως τῶν Ἰσοσυλλάβων, οἷον Αἰνείας, αἰνείου, αἰνειάδης. Ἱππότης, ἱππότου, ἱπποτάδης.

δ. Πότε δὲ τῇ ει διφθόγγῳ;

μ. Ὅταν τὸ πρωτότυπον ἔχῃ τὴν Γενικὴν εἰς ως, οἷον Πηλεὺς, πηλέως, πηλείδης κατὰ συναίρεσιν.

δ. Πότε δὲ τῇ οι;

μ. Ὅταν τὸ πρωτότυπον ἔχῃ τὴν λήγουσαν, καὶ τὴν παραλήγουσαν διὰ δύο ο καθαρεύοντων, οἷον Πάνθοος, πανθόου, πανθοΐδης, καὶ κατὰ συναίρεσιν πανθοίδης.

δ. Πόσαι δὲ τῶν θηλυκῶν καταλήξεις;

μ. Τρεῖς, ας, ις κοινῶς, καὶ ινη αἰολικῶς.

δ. Πό-

μ. Τὸ πρῶτον, τῷ δευτέρῳ, καὶ τρίτου· οἷον ἐγὼ, σὺ, καὶ ὁ Ἀλέξανδρος τὴν Ἰνδικὴν ἱστοροῦμεν χῶραν. καὶ τὸ δεύτερον, τῷ τρίτῳ· οἷον σὺ, καὶ ὁ Ἀλέξανδρος τὴν Ὁμηρικὴν Βίβλον, θησαυρὸν εἶναι νομίζετε.

δ. Ἐν πτώσεσι δὲ, ποία;

μ. Ἡ Ὀνομαστικὴ, τῆς πλαγίας μετὰ προθέσεως· οἷον ὁ Ἀλέξανδρος μετὰ τῷ Δαρείῳ μονομαχοῦσιν.

δ. Ὁ ὑὸς τοῦ ἀδελφοῦ, ἢ τῆς ἀδελφῆς, πῶς λέγεται;

μ. Ὁ ἀδελφιδοῦς καὶ κλίνεται, ὁ ἀδελφιδόος, ἀδελφιδοῦς· τοῦ ἀδελφιδόου, ἀδελφιδοῦ.

δ. Ἡ δὲ θυγάτηρ τῆς ἀδελφῆς, ἢ τοῦ ἀδελφοῦ, πῶς;

μ. Ἡ ἀδελφιδῆ, ἡ.

δ. Ὁ δὲ ὑὸς τῆς θυγατρός;

μ. Ὁ θυγατριδοῦς.

δ. Ἡ δὲ θυγάτηρ τῆς θυγατρός;

μ. Ἡ θυγατριδῆ.

δ. Ὁ δὲ ὑὸς τοῦ ὑοῦ;

μ. Ὁ ὑωνὸς, καὶ ὁ ἔγγονος.

δ. Ἡ δὲ θυγάτηρ τοῦ ὑοῦ;

μ. Ἡ ὑωνὴ, καὶ ἡ ἐγγόνη.

δ. Πόσα τὰ γένη τῶν Πατρωνυμικῶν;

μ. Δύο, Ἀρσενικὸν, καὶ Θηλυκόν.

δ. Πόσαι καταλήξεις τῶν Ἀρσενικῶν;

μ. Δύο, δης κοινὴ, οἷον Πηλείδης, ων ἰωνικὴ, οἷον Πηλείων.

δ. Παραλήξεις δὲ πόσαι;

μ. Τέτταρες: ι. α. ει. οι.

τὸ ἄρθρον τῷ Ἀπόλλωνι, ἀλλ' οὐ ταῖς Μούσαις ἀπέδωκε. Τὸ τοῦ Ποιητοῦ δὲ, τὸ εἰς τὴν Ἰῶτα Ῥαψῳδίαν τῆς Ἰλιάδος ῥηθὲν, Πάτροκλος δ' ἑτάροισιν, ἰδὲ δμωῇσι κέλευσε, Φοίνικι στορέσαι πυκινὸν λέχος ὅττι τάχιστα· Αἱ δ' ἐπιπειθόμεναι στόρεσαν λέχος ὡς ἐκέλευσε. Καινοπρεπές ἐστι σχῆμα, φησὶν Εὐστάθειος· τάχα, διότι φασί τινες ἐπιτηδειότεραι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν αἱ γυναῖκες οὖσαι, διατοῦτο τοῦ ἀρσενικοῦ γένους τὸ θηλυκὸν ἐπεκράτησεν. Εἶπε γὰρ Αἱ δ' ἐπιπειθόμεναι, καὶ οὐχ' οἱ δ' ἐπιπειθόμενοι. Τοῦ δὲ θηλυκοῦ ὁ Ψαλμῳδὸς Δαβίδ, Πρόβατα καὶ βόας ἁπάσας εἰπὼν, εἰς τὸ θηλυκὸν ἐποιήσατο τὴν ἀπόδοσιν τοῦ ἐπιθέτου. Τὸ μὲν γὰρ Πρόβατα, οὐδέτερον, τὸ δὲ Βόας, θηλυκόν· ὅθεν οὐκ εἶπεν ἅπαντα, ἀλλ' ἁπάσας. Καίτοι τὸ οὐδέτερον ἐστὶν ὅτε τοῦ τε ἀρσενικοῦ καὶ θηλυκοῦ ἐπικρατεῖ γένους. οὐχὶ δὲ πρὸς τ' ὄνομα ἡ ἀπόδοσις, ἀλλ' εἰς τὸ πρᾶγμα γίνεται. Καθάπερ ὁ αὐτὸς ἀνωτέρω ἐν τῷ αὐτῷ Ψαλμῷ· Σελήνην καὶ ἀστέρας. ἃ σὺ ἐθεμελίωσας, καὶ, Ὁ ἵππος, ὁ βοῦς καὶ τὸ πρόβατον, χρήσιμα τοῖς ἀνθρώποις.

δ. Ἐν γένεσι μὲν δεδήλωται, ὅτι τὸ ἀρσενικὸν τοῦ θηλυκοῦ, καὶ τὸ θηλυκὸν τοῦ οὐδετέρου ἐπικρατεῖ. Ἐν ἀριθμοῖς δὲ ποῖος;

μ. Ὁ πληθυντικὸς τοῦ ἑνικοῦ· οἷον οἱ Ἀθηναῖοι, καὶ ὁ Φίλιππος πόλεμον ἐγείρουσιν.

δ. Ἐν προσώποις δὲ ποῖον;

πληροῖ ὀνόματος, οἷον Πηλείδης, ὁ Ἀχιλλεύς;

δ. Πότε δὲ καὶ μετὰ τοῦ κυρίου τῷ Πατρωνυμικῷ χρώμεθα ὀνόματι;

μ. Ὅταν ὁ υἱὸς ἀδελφὸν, ἢ ἡ θυγάτηρ ἀδελφὴν ἔχῃ· οἷον Ἀτρείδης Μενέλαος. πληθυντικῶς δὲ, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ, Σὺν Τυνδαρείδαις τοῖς Διὸς υἱοῖς, Κάστορι δηλαδὴ, καὶ Πολυδεύκει.

δ. Ὅταν δὲ ὁ υἱὸς ἀδελφὴν ἔχῃ, μόνῳ χρώμεθα τῷ Πατρωνυμικῷ, ἢ καὶ μετὰ τοῦ κυρίου ὀνόματος ἐν τοῖς ἐκείνοις;

μ. Μόνῳ;

δ. Διατί.

μ. Ὅτι ἑκάτερος ἀντὶ μονογενοῦς λαμβάνεται, τῷ τε τῷ γένει ἀλλήλων διενηνοχέναι, καὶ τύπους διαφόρους ἐσχηκέναι. τὸ γὰρ Ἀρσενικὸν πατρωνυμικὸν, εἰς δης, τὸ δὲ θηλυκὸν εἰς ις, ἢ εἰς ας λήγει.

δ. Τίς ἐστιν, ὃν ἔφης ἑκάτερος;

μ. Ὁ Ἀδελφὸς, καὶ ἡ Ἀδελφή.

δ. Διατὶ οὐχ ἑκατέρα ἔφης, ἀλλ᾽ ἑκάτερος.

μ. Ὅτι, τὸ μὲν ἀρσενικὸν τοῦ θηλυκοῦ, τὸ δὲ θηλυκὸν τοῦ οὐδετέρου ἐν τῇ ἀποδόσει ἐπικρατεῖ γένους. Καὶ τοῦ μὲν ἀρσενικοῦ μάρτυς Εὐριπίδης ἐν Ὀρέστῃ, φάσκων. Δοκῶν Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος, φίλαισι χερσὶ περιβαλεῖν, καὶ μητέρα, ὡς εὐτυχοῦντας. Εἰς τὸ ἀρσενικὸν τὴν μετοχὴν ἀπέδωκεν. οὐκ εἶπε γὰρ εὐτυχούσας, ἀλλ᾽ εὐτυχοῦντας. Καὶ Καλλίμαχος, Μοῦσαι καλαὶ καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω.

μ. Συντακτικὴ τοῦ Ῥήματος.

## Τεχνολογία Κ΄. τῶν Εἰδῶν τῶν Ὀνομάτων.

δ. Πόσα εἴδη τοῦ Ὀνομάτων;

μ. Δύο, τὰ μὲν τῆς φωνῆς, τὰ δὲ τῆς σημασίας.

δ. Πόσα τὰ εἴδη τῆς φωνῆς;

μ. Δύο, Πρωτότυπον, καὶ Παράγωγον.

δ. Πόσα τὰ εἴδη τοῦ Παραγώγου;

μ. Ἑπτά. Πατρωνυμικὸν, Κτητικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Ὑποκοριστικὸν, Παρώνυμον, καὶ Ῥηματικόν.

## ΠΕΡΙ ΠΑΤΡΩΝΥΜΙΚΟΥ.

δ. Τί ἐστι Πατρωνυμικόν;

μ. Πατρωνυμικὸν ὄνομά ἐστι, τὸ ἀπὸ κυρίων μόνον ὀνομάτων παραγόμενον· καὶ κυρίως μὲν ἀπὸ τοῦ Πατρὸς Υἱὸν, καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ Πάππου Ἔγγονον σημαῖνον.

δ. Ποσαχῶς τῷ Πατρωνυμικῷ χρώμεθα ὀνόματι;

μ. Διχῶς, ὅτε μὲν μόνῳ, ὅτε δὲ καὶ μετὰ τοῦ κυρίου ὀνόματος.

δ. Πότε τῷ Πατρωνυμικῷ χρώμεθα μόνῳ;

μ. Ὅταν ὁ υἱὸς ἀδελφὸν, ἢ ἡ θυγάτηρ ἀδελφὴν οὐκ ἔχῃ;

δ. Διατί;

μ. Ὅτι τὸ Πατρωνυμικὸν τηνικαῦτα κυρίου τόπον ἀναπληροῖ

Ὁ Σωκράτης διέφερε τῶν ἄλλων Ἑλλήνων παιδείᾳ καὶ ἀρετῇ.

δ. Παιδείᾳ καὶ ἀρετῇ, ὁποῖαι δοτικαί εἰσιν;

μ. Ὑπερβολῆς σημαντικαί.

## Περὶ Αἰτιατικῆς.

δ. Ὁσαὶ δὲ τῆς Αἰτιατικῆς;

μ. Πέντε· χρόνου σημαντική, συνεκδοχική, διαστήματος σημαντική, συντακτικὴ προθέσεων, συντακτικὴ ῥημάτων.

Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος.

δ. Ὅλην τὴν ἡμέραν, ποία πτῶσις ἐστίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική.

μ. Χρόνου σημαντική.

Ἀλγῶ τὴν κεφαλήν.

δ. Τὴν κεφαλήν, ὁποία Αἰτιατική ἐστι;

μ. Συνεκδοχική.

Αἱ Ἀθῆναι ἀπέχουσι τῶν Θηβῶν στάδια εἴκοσι.

δ. Στάδια, ὁποία Αἰτιατική ἐστι;

μ. Σημαντικὴ διαστήματος.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβίδ.

δ. Σὲ, ὁποία Αἰτιατική ἐστι;

μ. Συντακτικὴ τῆς προθέσεως.

Ἀγαπήσεις Κύριον τὸν Θεόν σου.

δ. Κύριον τὸν Θεὸν, ὁποία Αἰτιατική.

ςακτικῦ δίδασκε, Ἀπαρέμφατον ἔλαβεν· Καὶ ὁ Φωκυλίδης ὁμοίως· Μήτε γαμοκλοπέειν, μήτ' ἄρσενα κύπριν ὀρίνειν.

δ. Ὁ δὲ Ἀντιχρονισμὸς τί;

μ. Ὅταν χρόνον ἀντὶ χρόνου, ὡς Εὐριπίδης· ἥκω νεκρῶν κεύθμωνα, καὶ σκότου πύλας λιπὼν, ἀντὶ τοῦ ἧκον.

Ἔχων ὤμοισι τόξα.

δ. Ὤμοισιν, ὁποία Δοτική ἐςι;

μ. Τόπου σημαντική.

Ἕκτωρ ἠντύχει δουρί.

δ. Δουρὶ, ὁποία Δοτική ἐςι;

μ. Συνεκδοχική.

Εἴδομεν ἢ γαλόῳ.

δ. Γαλόῳ, ὁποία Δοτική ἐςιν;

μ. Ὁμοιώσεως σημαντική.

Ἅμα τῷ Ἰωάννῃ.

δ. Τῷ Ἰωάννῃ, ὁποία Δοτική ἐςι;

μ. Συνταχτικὴ τοῦ ἐπιῤῥήματος.

Βοήθησον ἡμῖν.

δ. Ἡμῖν, ὁποία Δοτική ἐςι;

μ. Συνταχτικὴ τοῦ ῥήματος.

Τοῖς χρήμασι πάντα γίνονται.

δ. Τοῖς χρήμασιν, ὁποία Δοτική ἐςιν;

μ. Αἰτίας σημαντική.

Ὁ

Τὸ βιβλίον μοι.

δ. Μοὶ, ὁποία Δοτική ἐστι;

μ. Κτητικὴ κατὰ ἀντίπτωσιν.

δ. Τί ἐστιν ἀντίπτωσις;

μ. Ἀντίπτωσίς ἐστιν, ὅτε ἀντὶ πτώσεως ἑτέραν λαμβάνωμεν· οἷον τὸ βιβλίον μοι, ἀντὶ τὸ βιβλίον μου· καὶ, Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; τὸ σέ, ἀντὶ σοῦ. καὶ, Τρωσὶν μὲν προμαχίζεν Ἀλέξανδρος θεοειδής, ἀντὶ Τρώων.

δ. Πότε τὰ τρία πρόσωπα τῶν Ῥημάτων, καὶ αἱ Δοτικαὶ τῶν Μετοχῶν καὶ Ὀνομάτων προσλαμβάνουσιν ἐν τέλει ν;

μ. Ὅτε αὐταῖς φωνῆεν ἕπεται· οἷον, εἶπεν ὁ Θεός, καὶ εἶπε Κύριος. Τοῖς ἀληθέσιν ἀνθρώποις, καὶ ἀληθέσι λαοῖς. Τοῖς οἰκοδομήσασιν οἶκον προσευχῆς, καὶ κοσμίσασι τοῦτον.

δ. Διατί οὖν ὁ Ποιητὴς ν προσέθετο εἰπὼν, Τρωσὶν μὲν, οὐχὶ δὲ Τρωσὶ μὲν, εἴπερ φωνῆεν οὐχ ἕπεται;

μ. Κατὰ ἀνάγκην ποιητικὴν διὰ τὸ μέτρον.

δ. Ποῖαι τῶν Δοτικῶν προσλαμβάνουσιν ἐν τέλει, ν;

μ. Αἱ πληθυντικαὶ, ὅσαι λήγουσιν εἰς ι.

δ. Ποῖα δὲ πρόσωπα τῶν Ῥημάτων;

μ. Ὅσα λήγουσιν εἰς ε, ἢ εἰς ι.

δ. Τί δὲ ἡ ἀντέγκλισις.

μ. Ὅταν ἔγκλισιν ἀντὶ ἐγκλίσεως ἑτέραν λαμβάνωμεν· ὡς ὁ Θεολόγος ἐν τοῖς τετρασίχοις· ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ: ἀντὶ τοῦ Πρα-

 γαχ·

των, συντακτικὴ ῥημάτων, αἰτίας σημαντικὴ, καὶ ὑπερβολῆς σημαντική.

Τύψω σοι τὸν παῖδα.

δ. Σοὶ, ποία πτῶσις ἐςί;

μ. Δοτική.

δ. Ὁποία Δοτική;

μ. Χαριστική.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς.

δ. Τῷ καιρῷ ἐκείνῳ, ποία πτῶσις ἐςί;

μ. Δοτική.

δ. Ὁποία Δοτική;

μ. Χρόνου σημαντική.

Τῷ τοῦτο κρίνεις.

δ. Τῷ, ὁποία δοτική ἐςιν;

μ. Ποιητική.

Ὑπερέχω σε σπιθαμῇ.

δ. Σπιθαμῇ, ὁποία Δοτική ἐςιν;

μ. Ὑπεροχῆς σημαντική.

Μή γε μηχανῇ ποιήσωμεν τοῦτο.

δ. Μηχανῇ, ὁποία Δοτική ἐςι;

μ. Τρόπου σημαντική.

Ξίφει τὴν κεφαλὴν ἀπέτεμε.

δ. Ξίφει, ὁποία Δοτική ἐςιν;

μ. Ὀργανική.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.

δ. Σοὶ, ὁποία Δοτική ἐςι;

μ. Συντακτικὴ τῆς Προθέσεως.

Τὸ

μ. Συντακτικὴ τοῦ Ἐπιῤῥήματος.

Ἕνεκά σου θανατούμεθα.

δ. Σοῦ, ὁποία Γενική ἐστι;

μ. Συντακτικὴ τοῦ Συνδέσμου.

Ὦ τοῦ παραδόξου θαύματος.

δ. Θαύματος, ὁποία Γενική ἐστι;

μ. Συντακτικὴ τοῦ ἐπιῤῥήματος· ἢ καὶ θαυμαστικὴ λέγεται.

δ. Διατὶ λέγεται θαυμαστική;

μ. Ὅτι αἱ μετ' Ἐπιῤῥημάτων Θαυμασμοῦ συντασσόμεναι Γενικαὶ, θαυμαστικαὶ ἤκουσαν.

Οἱ σοφοὶ τῶν ἀνδρῶν.

δ. Τῶν ἀνδρῶν, ὁποία Γενική ἐστι;

μ. Διαιρετική.

Γνώμης γὰρ ἐσθλῆς, ἔργα χρηστὰ γίγνεται.

δ. Γνώμης ἐσθλῆς, ὁποία Γενική ἐστι;

μ. Συνεκδοχική.

δ. Διατὶ λέγεται συνεκδοχική;

μ. Ὅτι ἔξωθεν ἐκδέχεται τὴν Ἐκ Πρόθεσιν.

## Περὶ Δοτικῆς.

δ. Πόσαι δὲ τῆς Δοτικῆς;

μ. Πεντεκαίδεκα· χαριστικὴ, χρόνου σημαντικὴ, πευστικὴ, ὑπεροχῆς σημαντικὴ, τρόπου σημαντικὴ, ὀργανικὴ, συντακτικὴ προθέσεων, κτητικὴ κατὰ ἀντίπτωσιν, τόπου σημαντικὴ, συνεκδοχικὴ, ὁμοιώσεως σημαντικὴ, συντακτικὴ ἐπιῤῥημάτων

διάφορα πρόσωπα, ὡς τὸ τρίτον. Εἰ γὰρ ἡ τοῦ πρώτου προσώπου Γενικὴ ἀπολελυμένη ἀποδοθείη εἰς τὸ πρῶτον τοῦ Ῥήματος πρόσωπον, τὸ αὐτό ἐστιν. Ὡσαύτως καὶ εἰ εἰς τὸ δεύτερον ἢ τοῦ δευτέρου, οἷον ἐμοῦ γράφοντος περιεπάτουν. καὶ διδάσκοντός σου ἔγραφες. Ἰδοὺ αὐτὸς ἐγώ εἰμι ὅ, τε γράφων, καὶ περιπατῶν· καὶ σὺ ὁ διδάσκων, καὶ γράφων ὁ αὐτός. Οὕτω καὶ τοῖς πληθυντικοῖς τοῦ πρώτου καὶ δευτέρου προσώπου συμβαίνει.

δ. Τί κωλύει τὸ αὐτὸ εἶναι πρόσωπον;

μ. Ὅτι πᾶν Ῥῆμα Ὀνομαστικῆς δεῖται ἐπειδὰν δὲ τὸ αὐτὸ ὑπάρχῃ πρόσωπον τοῦ τε Ῥήματος, καὶ τῆς ἀπολελυμένης Γενικῆς, τότε τὸ ῥῆμα Ὀνομαστικὴν οὐκ ἔχει, ὡς ἐπὶ τῶν ῥηθέντων προσεχῶς δύο παραδειγμάτων δηλοῦται, ἅπερ Ὀνομαστικὰς οὐκ ἔχουσιν.

Ἡ Πόλις ἀπέχει τοῦ Γαλατᾶ σταδίων πέντε.

δ. Σταδίων, ὁποία Γενική ἐστι;

μ. Σημαντικὴ διαστήματος.

Ἐπάκουσον ἡμῶν ὁ Θεός.

δ. Ἡμῶν, ὁποία Γενική ἐστι;

μ. Συντακτικὴ τοῦ ῥήματος.

Δεδοξασμένα περὶ σοῦ λελάληται.

δ. Σοῦ, ὁποία Γενική ἐστι;

μ. Συντακτικὴ τῆς Προθέσεως.

Ἄνευ ἀργυρίου.

δ. Ἀργυρίου, ὁποία Γενική ἐστι;

μ. Συν-

δ. Ὅταν ἡ ἀπολελυμένη Γενικὴ πρώτου προσώπου τυγχάνῃ, εἰς πόσα πρόσωπα τῶν ῥημάτων τὴν ἀπόδοσιν ἔχει;

μ. Εἰς δύο, εἰς τὸ δεύτερον, καὶ τὸ τρίτον, οἷον ἐμοῦ γράφοντος, περιεπάτεις. καὶ περιπατοῦντός μου, ἤστραψεν.

δ. Ὅταν δὲ αὕτη δευτέρου τυγχάνῃ προσώπου, εἰς πόσα πρόσωπα τὴν ἀπόδοσιν ἔχει;

μ. Εἰς δύο, εἰς τὸ πρῶτον, καὶ τὸ τρίτον· οἷον διδάσκοντός σου, ἐγὼ ἔγραφον. καὶ περιπατοῦντός σου, ἡ γῆ ἐσείσθη.

δ. Ὅταν δὲ τρίτου αὕτη προσώπου τυγχάνῃ, εἰς πόσα τὴν ἀπόδοσιν ἔχει;

μ. Εἰς τρία· πρῶτον, δεύτερον, καὶ τρίτον· οἷον κρούσαντος τοῦ Ἐκκλησιάρχου τὸν σημαντῆρα, ἠγέρθημεν ἅπαντες. Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, ἀνέστης τριήμερος Σωτήρ. καὶ, Τοῦ Γαβριὴλ φθεγξαμένου, ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης.

δ. Διατί ἡ τοῦ τρίτου προσώπου Γενικὴ ἀπολελυμένη, εἰς τρία πρόσωπα τὴν ἀπόδοσιν ἔχει; ἡ δὲ τοῦ πρώτου, καὶ δευτέρου εἰς δύο;

μ. Ὅτι ἡ τοῦ τρίτου προσώπου ἀπολελυμένη Γενικὴ, εἰ καὶ εἰς τρίτον ἀποδίδοται πρόσωπον, ἀλλ' οὐκ εἰς τὸ αὐτό. ὁ γὰρ φθεγξάμενος Γαβριὴλ, καὶ ὁ σαρκούμενος Δεσπότης, διάφορά εἰσι πρόσωπα. Τὸ δὲ πρῶτον, καὶ δεύτερον, οὐκ ἔχουσι

διά-

μ. Ὕλης σημαντική.

Ὠνησάμην ἵππου δέκα δραχμῶν.

δ. Δραχμῶν, ὁποία Γενική ἐστιν;

μ. Ὠνῆς σημαντική.

Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν.

δ. Νυκτὸς, ὁποία Γενική ἐστι;

μ. Χρόνου σημαντική.

Ὁ Ἀχιλλεὺς ἀνδρειότερος Αἴαντος.

δ. Αἴαντος, ὁποία γενική ἐστι;

μ. Συγκριτική.

Ὁ Ἕκτωρ πάντων τῶν Τρώων ἰσχυρότατος.

δ. Τῶν Τρώων, ὁποία Γενική ἐστιν;

μ. Ὑπερθετική.

Ἤστραπτε περιπατοῦντός μου.

δ. Περιπατοῦντός μου, ὁποία Γενική ἐστιν;

μ. Ἀπολελυμένη.

δ. Ἐν ποίοις τῶν μερῶν τοῦ Λόγου γίνεται ἡ Γενικὴ ἀπολελυμένη;

μ. Ἐν ταῖς Μετοχαῖς μετὰ Ὀνομάτων, καὶ Ἀντωνυμιῶν.

δ. Ἐν Ὀνόμασι δὲ καὶ Ἀντωνυμίαις χωρὶς Μετοχῶν, γίνεταί ποτε αὕτη;

μ. Οὐδέποτε.

δ. Ἐν ποίοις ἀριθμοῖς τῶν ῥημάτων ἡ ἀπολελυμένη Γενικὴ τὴν ἀπόδοσιν ἔχει;

μ. Ἐν πᾶσιν Ἑνικοῖς, Δυϊκοῖς τε, καὶ Πληθυντικοῖς.

δ. Ἐν ποίοις δὲ προσώποις;

μ. Ἐν πᾶσι, Πρώτοις, Δευτέροις τε, καὶ Τρίτοις.

δ. Ὅταν

μ. Ὅτι λείπει ὁ ἕνεκα σύνδεσμος, ὁ ἔξωθεν ἐπινοούμενος.

Ἀχιλλεὺς ὁ τοῦ Πηλέως.

δ. Τοῦ Πηλέως, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Πατρική.

Τὸ βιβλίον τοῦ Κωνσταντίνου.

δ. Τοῦ Κωνσταντίνου, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Κτητική.

Ἀναζεπτικὸν ῥήγματος.

δ. Ῥήγματος, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Ὡς Κτητική.

Τὸ βιβλίον τοῦ Ἰσοκράτους.

δ. Τοῦ Ἰσοκράτους, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Ποιηματική.

Ἐμισθωσάμην θεράποντα δραχμῆς.

δ. Δραχμῆς, ὁποία Γενική ἐστι;

μ. Μισθωτική.

Ξεστὸν λίθοιο.

δ. Λίθοιο, ὁποία Γενική ἐστιν;

μ. Ὕλης

Τεχνολογία Ι'. τῶν διαφόρων πτώσεων, κατὰ τὰς διαφόρους αὐτῶν σημασίας.

δ. Πόσαι Πτώσεις;

μ. Πέντε, Ὀνομαστικὴ, Γενικὴ, Δοτικὴ, Αἰτιατικὴ, καὶ Κλητική.

δ. Πόσαι διαφοραὶ τῆς Ὀνομαστικῆς;

μ. Τρεῖς Ἐνεργητικὴ, ὁ Διδάσκαλος λέγει. Παθητικὴ, ὁ Κύριος ἀνελήφθη. Οὐδετέρα, ὁ Διδάσκαλος ἀληθεύει.

δ. Πόσαι τῆς Κλητικῆς;

μ. Μία· κλῆσις, ὦ Ἰωάννη.

δ. Πόσαι τῆς Γενικῆς;

μ. Ἐννεακαίδεκα· ἐλλειπτικὴ, πατρικὴ, κτητικὴ, ὡς κτιτικὴ, ποιηματικὴ, μισθωτικὴ, ὕλης σημαντικὴ, ὠνῆς σημαντικὴ, χρόνου σημαντικὴ, συγκριτικὴ, ὑπερθετικὴ, ἀπολελυμένη, σημαντικὴ διαστήματος, συντακτικὴ ῥήματος, συντακτικὴ προθέσεων, συντακτικὴ ἐπιρρημάτων, καὶ συνδέσμων, θαυμαστικὴ, διαιρετικὴ, καὶ συνεκδοχική.

Θαυμάζω σε τῆς ἀρετῆς.

δ. Ἀρετῆς, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Ἐλλειπτική.

δ. Διατὶ λέγεται Ἐλλειπτική;

μ. Ὅτι

ἐπειδὰν, κἂν, ὅταν, ὅπως, ἵνα, ὑποτάσσουσιν. ἡ δὲ Εὐκτικὴ οὐχ ὑποτάσσεται, ὡς καὶ αἱ πρὸ αὐτῆς. καὶ ὅτι ἡ μὲν Ὑποτακτικὴ, ἐστὶν ἀτελὴς· ἡ δὲ Εὐκτικὴ τελεία, ὡς ἐν τῷ περὶ Στιγμῶν ῥηθήσεται. τὸ δὲ τέλειον τοῦ ἀτελοῦς προηγεῖται.

δ. Διατί ἡ Ὑποτακτικὴ προηγεῖται τῆς Ἀπαρεμφάτου ἡ δὲ Ἀπαρέμφατος ἕπεται ταύτῃ;

μ. Ὅτι ἡ μὲν Ἀπαρέμφατος, οὔτε ἀριθμὸν, οὔτε πρόσωπον παρεμφαίνει, οἷον λέγειν. ἡ δὲ Ὑποτακτικὴ ἀμφοτέρων εὐμοίρησε.

δ. Διατί ἡ Ἀπαρέμφατος προηγεῖται τῆς Μετοχῆς; ἡ δὲ Μετοχὴ ἕπεται ταύτῃ;

μ. Ὅτι ἡ μὲν Μετοχὴ οὐκ ἐξ ἑαυτῆς, ἀλλ' ἐκ τοῦ Ῥήματος κατὰ μέθεξιν ἔχει τὸ πάθος, ἢ τὴν ἐνέργειαν. διατοι τοῦτο καὶ Μετοχὴ ἤκουσεν· οἷον ὁ γράφων, διὰ τὸ γράφω ῥῆμα, ἐξ οὗ καὶ παράγεται, λέγεται γράφων. ἡ δὲ Ἀπαρέμφατος ἐξ ἑαυτῆς τὸ, τε πάθος καὶ τὴν ἐνέργειαν.

δ. Ποσαχῶς ἡ Μετοχὴ ἐν τῇ συντάξει λαμβάνεται;

μ. Διχῶς, καὶ ὡς Ῥῆμα, καὶ ὡς Ὄνομα. Ὀνόμασι μὲν γὰρ συντασσομένη, ἐν Ῥήματος μοίρᾳ λαμβάνεται· οἷον τοὺς λόγους ἐπαινῶν· Ῥήμασι δὲ, ἐν μοίρᾳ Ὀνόματος, οἷον, τοὺς λέγοντας ἐπαινῶ.

δ. Τίνι δὲ συντάσσεται πτώσει;

μ. Ἧτινι καὶ τὸ ἐξ οὗ αὕτη παράγεται ῥῆμα.

τὸ δὲ Ἀπαρέμφατον ἐσχάτην εἴληφε τάξιν.

## Περὶ τῆς τῶν ἐγκλίσεων τάξεως.

ἐ. ΠΟῖαι τῶν Ἐγκλίσεων ἐν τῇ τάξει προηγοῦνται;

μ. Ἡ Ὁριστικὴ τῆς Προστακτικῆς. ἡ Προστακτικὴ τῆς Εὐκτικῆς. ἡ Εὐκτικὴ τῆς Ὑποτακτικῆς. ἡ Ὑποτακτικὴ τῆς Ἀπαρεμφάτου· καὶ αὕτη τῶν Μετοχῶν.

ἐ. Διατὶ ἡ Ὁριστικὴ προηγεῖται τῶν ἄλλων Ἐγκλίσεων;

μ. Ὅτι ἡ μὲν Ὁριστικὴ ἀληθείας, ἢ ψεύδους ἐστὶ δηλωτικὴ· καὶ ὅτι διὰ ταύτης ἀποφαινόμενοι, ὁριζόμεθα· οἷον, λόγος ἐστὶ λέξεων σύνθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα. καὶ διὰ τὸ ὁρίζειν, Ὁριστικὴ λέγεται. Τῶν ἄλλων δὲ οὐδεμία ἐστὶ τοιαύτη, ἀλλὰ τρόπου μόνον δηλοῦσι διάθεσιν.

ἐ. Διατὶ ἡ Προστακτικὴ προηγεῖται τῆς Εὐκτικῆς; ἡ δὲ Εὐκτικὴ ἕπεται τῇ Προστακτικῇ;

μ. Ὅτι ἡ μὲν Εὐκτικὴ, εὐχὴν, ἤτοι δέησιν μόνην σημαίνει· οἷον γένοιτο Κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς. ἡ δὲ Προστακτικὴ δέησίν τε πρὸς μείζονας· οἷον Κύριε ἐλέησον· καὶ ἐπιταγὴν πρὸς ἐλάσσονας, οἷον δεῦτε τέκνα ἀκούσατέ μου.

ἐ. Διατὶ ἡ Εὐκτικὴ προηγεῖται τῆς Ὑποτακτικῆς, ἡ δὲ Ὑποτακτικὴ ἕπεται ταύτῃ;

μ. Ὅτι ἡ μὲν Ὑποτακτικὴ ὑποτάσσεται τισὶ μορίοις τῶν Συνδέσμων, οἷον ἐὰν εἴπῃ ὁ δοῦλος ἐκεῖνος. Τὸ δὲ τὸ εἴπῃ ῥῆμα ὑποτάσσεται τῷ ἐὰν Συνδέσμῳ, ἀνθ' ὅτου καὶ ὑποτακτικὸν λέγεται. τὸ γὰρ, ἐὰν, ἤν, ἄν, ἐπει-

ραδείγματος τὸ ( οἱ Ἰνδοὶ ) ἐςὶν Ὀνομαςικὴ, καὶ τὸ ἐπίθετον( τὸ αὐτοὺς )Αἰτιατική. Τοῦ δὲ δευτέρου τὸ οὐσιαςικὸν( οἷον τοὺς Ἀποςόλους ) Αἰτιατική, τὸ δὲ ἐπίθετον ( οἷον χαίροντες)Ὀνομαςική. Τοιοῦτον κατὰ σύνταξιν καὶ τὸ, Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγὼ ἐπλημμέλησα. Ὥσπερ καὶ τὸ, Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος.

δ. Διατὶ τὸ χαίροντες Μετοχὴ οὖσα, ἐπίθετον εἴρηκας;

μ. Ὅτι πᾶσαι αἱ Μετοχαὶ, ναὶ μὴν καὶ αἱ Ἀντωνυμίαι, τόπον ἐπιθέτων ἐπέχουσι.

δ. Τί οὖν διαφέρουσι ταῦτα τῶν προτέρων, εἴπερ κἀν τούτοις τρέπεται εἰς Αἰτιατικὴν ἡ Ὀνομαςική;

μ. Ὅτι ἐν ἐκείνοις μὲν ἀεὶ τρέπεται ἡ Ὀνομαςικὴ τοῦ Ἀπαρεμφάτου εἰς Αἰτιατικὴν, ἐν τούτοις δὲ οὐκ ἀεὶ, ἀλλὰ ποτὲ μὲν τρέπεται, ποτὲ δ' οὔ. Κἀκείνων μὲν αἱ Ὀνομαςικαὶ πολλαί τε εἰσὶ καὶ διάφοροι, τούτων δὲ μία. Τὰ γὰρ οὐσιαςικὰ μετὰ ἐπιθέτων συντασσόμενα, ὡς καὶ ἀνωτέρω εἴρηται, εἰ καὶ πολλὰ δοκοῦσιν εἶναι, ἀλλ' οὖν ἀντὶ μιᾶς λαμβάνονται πτώσεως.

δ. Διατὶ, ὅταν ἓν ὄνομα, ἢ οὐσιαςικὸν, ἢ ἐπίθετον ὑπάρχει, τοῦ τε Ῥήματος, καὶ τοῦ Ἀπαρεμφάτου ὀνομαςική, οὐ τρέπεται εἰς Αἰτιατικὴν, οἷον χρονίζει ὁ Κύριός μου ἔρχεσθαι· καὶ οὐχὶ, χρονίζει τὸν Κύριόν μου ἔρχεσθαι;

μ. Ὅτι τὸ ὄνομα ἕπεται τῇ προτέρᾳ τῇ τάξει ἐγκλίσει,

 τὸ

φοροιῦσαι, ἡ μὲν τοῦ Ἀπαρεμφάτου, ἐξέπη εἰς Αἰτιατικὴν· ἡ δὲ τοῦ Ὀρισικοῦ, ἔμεινεν Ὀνομασική. Καὶ νόμος ἐςὶ τῶν Βασιλέων, τοὺς παῖδας τὴν βασιλείαν κληρονομεῖν.

ἐ. Πότε δὲ ἡ Ὀνομασικὴ τοῦ Ἀπαρεμφάτου ἐ ξέπεται εἰς Αἰτιατικὴν;

μ. Ὅταν ἡ Ὀνομασικὴ τούτου τε, καὶ τοῦ Ῥήματος (λέγω δὲ ῥήματος, ὅτι τὸ Ἀπαρέμφατον, ἐ κυρίως ῥῆμα, ἀλλ᾽ ὄνομά ἐςι ῥήματος, καθά φησιν ὁ Γαζῆς γραμματικὸς Θεόδωρος) μία ἦ, καὶ τοῦ αὐτοῦ προσώπε σημαντικὴ· οἷον, ὁ δὲ παράνομος Ἰέδας ἐκ ἠβελήθη σωνιέναι. Ἰέδας ὧδε, ὁ παράνομος Ἰέδας ἐςὶν, ὅ, τε μὴ βελληθεὶς, καὶ μὴ σωνεὶς. Καὶ ὁ Ἀλέξανδρος ἐπιθυμεῖ μανθάνειν, νέος ὤν. Ἰδὲ καὶ ταῦθα ὁ Ἀλέξανδρός ἐςιν ὅ, τε ἐπιθυμῶν, καὶ μανθάνων. Καίτοι ἐνίοτε τὸ μὲν ἐσιαςικὸν μένει Ὀνομασικὴ, τὸ δὲ ἐπίθετον τρέπεται εἰς Αἰτιατικὴν· οἷον, οἱ δὲ Ἰνδοὶ ἔλεξαν σφᾶς αὐτοὺς ἐλθεῖν. καὶ ἀνάπαλιν· τὸ ἐπίθετον μένει Ὀνομασικὴ, καὶ τὸ ἐσιαςικὸν τρέπεται εἰς Αἰτιατικὴν, οἷον διὰ τὸ ἀξιωθῆναι τὲς Ἀποςόλες ἀτιμασθῆναι ὑπὲρ τε ὀνόματος τε Χριςε, ἐπορεύοντο χαίροντες ἀπὸ προσώπε τοῦ Σωνεδρίε. Δῆλον δ᾽ ὅτι καὶ τοῖς δυσὶ τούτοις παραδείγμασι, τῷ μὲν προσεχεῖ, οἱ Ἀπόςολοί εἰσιν οἵ, τε ἀξιωθέντες, ἀτιμασθέντες καὶ πορευόμενοι· τῷ δὲ πρὸ αὐτοῦ, οἱ Ἰνδοὶ οἵ, τε λέξαντες καὶ ἐλθόντες. Καὶ τοῦ μὲν πρώτου παραδείγ-

ἀ. Διαφόροις.

ἐ. Πόσοι γενικώτατοι τῶν ῥημάτων τύποι;

ἀ. Δύο, Ἐνεργητικὸς, καὶ Παθητικός.

ἐ. Πόσαι διαθέσεις τοῦ Ἐνεργητικοῦ τύπου;

ἀ. Δύο, ἐνεργητικὴ, καὶ οὐδετέρα.

ἐ. Πόσαι τοῦ Παθητικοῦ;

ἀ. Τρεῖς, Παθητικὴ, Κοινὴ, ἡ Μέση, καὶ Ἀποθετική.

## Τεχνολ. Θ΄. τῶν Ἀπαρεμφ. μετὰ Ῥημάτων.

Ἐπιθυμῶ μανθάνειν.

ἐ. Ἐπιθυμῶ, τίνι συντάσσεται πτώσει;

ἀ. Ποτὲ μὲν Γενικῇ, οἷον ὁ ἐμβλέψας γυναικὶ εἰς τὸ ἐπιθυμῆσαι αὐτῆς. ποτὲ δὲ Ἀπαρεμφάτῳ, οἷον ἐπιθυμῶ μανθάνειν.

ἐ. Εἰσὶ καὶ ἄλλα τοιαῦτα Ῥήματα Ἀπαρεμφάτοις συντασσόμενα;

ἀ. Πλεῖστα, οἷον δύναμαι τὸ ἔχειν. Γινώσκω γράφειν. Βούλομαι λέγειν· καὶ ἄλλα.

ἐ. Πότε ἡ Ὀνομαστικὴ τοῦ Ἀπαρεμφάτου εἰς Αἰτιατικὴν ἐν τῇ συντάξει τρέπεται;

ἀ. Ὅταν ἡ Ὀνομαστικὴ τοῦ ῥήματος, εἰς ὃ τὸ Ἀπαρέμφατον ἀποδίδοται, καὶ ἡ τοῦ Ἀπαρεμφάτου, διάφοροι ὦσιν, ἀλλ' οὐ μία. Τούτων γὰρ οὕτως ἐχουσῶν, ἡ μὲν τοῦ Ἀπαρεμφάτου, τρέπεται εἰς Αἰτιατικὴν, ἡ δὲ τοῦ Ῥήματος μένει Ὀνομαστική· οἷον, Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Ἰδοὺ τὸ μὲ, ἐγὼ δηλαδὴ, καὶ ὁ Κύριος, ὀνομαστικαὶ διά-

# ΠΕΡΙ' ΤΩ~Ν Α'ΠΟΘΕΤΙΚΩ~Ν.

Εὐαγγελίζομαί σοι χαράν.

δ. Ε'Υαγγελίζομαι, ποίας διαθέσεως;

μ. Α'ποθετικῆς.

δ. Πόσα τὰ εἴδη τῶν Α'ποθετικῶν.

μ. Ε'πτά· Πρῶτον, Δεύτερον, Τρίτον, Τέταρτον, Πέμπτον, Ε'κτον, καὶ Α'ποθετικοπαθητικόν.

δ. Ποίου εἴδους τῶν Α'ποθετικῶν;

μ. Πέμπτου.

δ. Τίνι συντάσσεται πτώσει τὸ Πέμπτον εἶδος τῶν Α'ποθετικῶν;

μ. Δοτικῇ, καὶ Αἰτιατικῇ.

δ. Ποία ἐστὶν ἐνταῦθα ἡ Δοτική, καὶ Αἰτιατική;

μ. Τὸ, σοὶ, χαράν.

δ. Τίνι δὲ τὸ Πρῶτον συντάσσεται πτώσει;

μ. Αἰτιατικῇ, οἷον αἰθυμοῦμαι τὴν κρίσιν.

δ. Τὸ δὲ Δεύτερον τίνι;

μ. Δοτικῇ, οἷον προσεύχομαι τῷ Θεῷ.

δ. Τίνι δὲ τὸ Τρίτον;

μ. Γενικῇ, οἷον ἀπέχομαι κρεῶν.

δ. Τίνι δὲ τὸ Τέταρτον;

μ. Δυσὶν Αἰτιατικαῖς, οἷον ἐργάζομαί σε ἀγαθόν.

δ. Τὸ δὲ Ε'κτον, τίνι;

μ. Αἰτιατικῇ καὶ Γενικῇ, οἷον ἐξαιροῦμαί σε τοῦ κινδύνου.

δ. Τὸ δὲ Α'ποθετικοπαθητικὸν τίνι;

μ. Δια-

μ. Ὅτι τὸ σημαῖνον ἐνέργειαν, Αἰτιατικῇ συντάσσεται· οἷον βιάζομαι τὸν φίλον.

δ. Τὸ δὲ σημαῖνον ἐνέργειαν εἰς ποῖον εἶδος τῶν Ἀποθετικῶν ὑπάγεται;

μ. Εἰς τὸ Πρῶτον.

δ. Διατί;

μ. Ὅτι τὸ πρῶτον τῶν Ἀποθετικῶν, Αἰτιατικῇ μόνῃ συντάσσεται, οἷον βιάζομαι τὸν φίλον. καὶ καθάπερ ἔφην περὶ τῶν Ἐνεργητικῶν, οὕτω φημὶ καὶ περὶ τῶν Ἀποθετικῶν.

δ. Τί ἔφης περὶ τῶν Ἐνεργητικῶν;

μ. Ὅτι τὸ Πρῶτον τῶν Ἐνεργητικῶν εἰς πάθος τραπὲν, γίνεται πρῶτον τῶν Παθητικῶν. καὶ τὸ δεύτερον τῶν ἐνεργητικῶν, εἰς τὸ δεύτερον τῶν Παθητικῶν· καὶ τ' ἄλλα καθεξῆς.

δ. Τί δὲ καὶ περὶ τῶν Ἀποθετικῶν φής;

μ. Ὅτι τὸ πρῶτον τῶν Ἀποθετικῶν κοινὸν, ἢ μέσον ὂν, τρέπεται εἰς τὸ πρῶτον τῶν Παθητικῶν· καὶ τὸ δεύτερον τῶν Ἀποθετικῶν, εἰς τὸ δεύτερον τῶν Παθητικῶν, καὶ τ' ἄλλα καθεξῆς ὡσαύτως.

δ. Ὁποίαν σύνταξιν ἔχουσι τὰ Ἀποθετικά;

μ. Οἵαν καὶ τὰ Ἐνεργητικά· τὸ πρῶτον δηλονότι τῶν Ἐνεργητικῶν Αἰτιατικῇ συντάσσεται, καὶ τὸ πρῶτον τῶν Ἀποθετικῶν Αἰτιατικῇ συντάσσεται· τὸ δεύτερον τῶν Ἐνεργητικῶν, Δοτικῇ· καὶ τὸ δεύτερον τῶν Ἀποθετικῶν, Δοτικῇ· καὶ τ' ἄλλα ἐφεξῆς ἀπαραλλάκτως.

δ. Τίνι δὲ τὸ Αὐτοουδέτερον συντάσσεται πτώσει;
μ. Ὀνομαστικῇ· οἷον ἐγὼ ζῶ.
δ. Τίνι δὲ τὸ Οὐδετερομεταβατικόν;
μ. Αἰτιατικῇ μετὰ προθέσεως, οἷον ἀναβαίνω εἰς τὸ ὄρος.
δ. Τὸ δὲ Περιποιητικὸν τίνι;
μ. Δοτικῇ, οἷον δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ.
δ. Τίνι δὲ τὸ Οὐδετεροκτητικόν;
μ. Γενικῇ, οἷον χρήζω βιβλίων.
δ. Τὸ δὲ οὐδετεροπαθητικὸν τίνι;
μ. Διαφόροις.

## ΠΕΡΙ' ΤΩ͂Ν ΜΕ'ΣΩΝ.

Ἡ βασιλεία τοῦ Θεοῦ βιάζεται.

δ. Βιάζεται, ποίας διαθέσεως;
μ. Κοινῆς.
δ. Πόσα τὰ εἴδη τῆς Κοινῆς Διαθέσεως;
μ. Οὐδέν.
δ. Διατί;
μ. Ὅτι ἡ Κοινὴ Διάθεσις, εἰ μὲν ἐνέργειαν σημαίνει, ὑπάγεται τῇ ἀποθετικῇ· εἰ δὲ πάθος, τῇ παθητικῇ.
δ. Τὸ, βιάζεται, πάθος ἐνταῦθα σημαίνει, ἢ ἐνέργειαν;
μ. Πάθος.
δ. Εἰς ποῖον εἶδος τῶν Παθητικῶν ὑπάγεται;
μ. Εἰς τὸ Πρῶτον.
δ. Διατί;

τῶν πλαγίων. καὶ διὰ τοῦτο τὰ ῥήματα ταῖς Ὀνομαστικαῖς ἕπονται.

δ. Ὅτε δύο ἑνικὰ ὀνόματα ἑξῆς κεῖνται, συνδέσμου μεσολαβοῦντος, ποίου ἀριθμοῦ ῥήματι συντάσσονται;

μ. Ἑνικοῦ τε, καὶ πληθυντικοῦ· οἷον ὁ Πέτρος καὶ ὁ Παῦλος ἐδίδαξαν. Τάφος καὶ νέκρωσις οὐκ ἐκράτησε.

## ΠΕΡῚ ΤΩ͂Ν ΟΥ̓ΔΕΤΈΡΩΝ.

Ἐγώ εἰμι ἡ ἀνάστασις.

δ. Ἡ Ἀνάστασις, ποία πτῶσις ἐστίν;

μ. Ὀνομαστική.

δ. Ὁποία Ὀνομαστική;

μ. Συντακτικὴ ῥήματος.

δ. Ποίου ῥήματος;

μ. Τοῦ Εἰμί.

δ. Τὸ Εἰμὶ, ποίας Διαθέσεως;

μ. Οὐδετέρας.

δ. Πόσα τὰ Εἴδη τῆς οὐδετέρας διαθέσεως;

μ. Ἕξ, Ὑπαρκτικὸν, Αὐτοουδέτερον, Οὐδετερομεταβατικὸν, Οὐδετεροπεριποιητικὸν, Οὐδετεροκτητικὸν, καὶ Οὐδετεροπαθητικόν.

δ. Ποσαχῶς τὸ Ὑπαρκτικὸν συντάσσεται εἶδος;

μ. Τειχῶς· ἢ Ὀνομαστικῇ μόνῃ, οἷον ἐγώ εἰμι ἡ ἀνάστασις. ἢ Ὀνομαστικῇ καὶ Γενικῇ, οἷον ἐγὼ ὑπάρχω τῶν Μοναχῶν. ἢ Ὀνομαστικῇ, καὶ Δοτικῇ, οἷον ἐστι μοι πλοῦτος.

ἐν τῷ Παθητικῷ τρέπεται.

δ. Ποσαχῶς τὰ Ῥήματα κατ' ἀριθμὸν συντάσσονται τοῖς ὀνόμασι;

μ. Τετραχῶς, ἢ ἑνικὰ ἑνικοῖς, οἷον ὁ Θεὸς ἠγάπησε τὸ κόσμον. ἢ πληθυντικὰ πληθυντικοῖς, οἷον οἱ Πατέρες νουθετοῦσι τὰ τέκνα. ἢ ἑνικὰ πληθυντικοῖς, οἷον ὁ Διδάσκαλος διδάσκει τοὺς Μαθητάς. ἢ πληθυντικὰ ἑνικοῖς, οἷον οἱ Μαθηταὶ τιμῶσι τὸν Διδάσκαλον.

δ. Ποῖα ῥήματα τῶν τεσσάρων τούτων παραδειγμάτων, ἐν τοῖς Παθητικοῖς κατ' ἀριθμὸν μεταβάλλονται;

μ. Τῶν δύο προσεχῶν, καὶ κατ' ἀριθμὸν ἀνομοίων.

δ. Πῶς μεταβάλλονται;

μ. Τὸ μὲν ἑνικὸν ῥῆμα ἐν τοῖς Ἐνεργητικοῖς, πληθυντικῷ συνταττόμενον ὀνόματι, πληθυντικὸν ἐν τοῖς Παθητικοῖς γίνεται· οἷον ὁ Διδάσκαλος διδάσκει τοὺς Μαθητάς· οἱ Μαθηταὶ διδάσκονται ὑπὸ τοῦ Διδασκάλου. Τὸ δὲ πληθυντικὸν ῥῆμα ἐν τοῖς Ἐνεργητικοῖς, ἑνικῷ συνταττόμενον ὀνόματι, ἑνικὸν ἐν τοῖς Παθητικοῖς γίνεται· οἷον οἱ Μαθηταὶ τιμῶσι τὸν Διδάσκαλον· ὁ Διδάσκαλος τιμᾶται ὑπὸ τῶν Μαθητῶν.

δ. Διατί τὰ ἑνικὰ πληθυντικά, καὶ τὰ πληθυντικὰ ἑνικά, ἐν τοῖς Παθητικοῖς γίνονται;

μ. Ὅτι τὰ ῥήματα τῇ κρείττονι ἕπονται πτώσει· ἡ δὲ Ὀνομαστικὴ ὀρθὴ καὶ εὐθεῖα οὖσα, κρείττων ἐστὶ

τῶν

τῆς πλαγίων. καὶ διὰ τοῦτο τὰ ῥήματα ταῖς Ὀνομαστικαῖς ἕπονται.

δ. Ὅτε δύο ἑνικὰ ὀνόματα ἐξῆς κεῖνται, συνδέσμου μεσολαβοῦντος, ποίου ἀριθμοῦ ῥήματι συντάσσονται;

μ. Ἑνικοῦ τε, καὶ πληθυντικοῦ· οἷον ὁ Πέτρος καὶ ὁ Παῦλος ἐδίδαξαν. Τάφος καὶ νέκρωσις οὐκ ἐκράτησε.

## ΠΕΡΙ' ΤΩ͂Ν ΟΥ'ΔΕΤΕ'ΡΩΝ.

Ἐγώ εἰμι ἡ ἀνάστασις.

δ. Ἡ Ἀνάστασις, ποία πτῶσις ἐστίν;

μ. Ὀνομαστική.

δ. Ὁποία Ὀνομαστική;

μ. Συντακτικὴ ῥήματος.

δ. Ποίου ῥήματος;

μ. Τοῦ Εἰμί.

δ. Τὸ Εἰμὶ, ποίας Διαθέσεως;

μ. Οὐδετέρας.

δ. Πόσα τὰ Εἴδη τῆς οὐδετέρας διαθέσεως;

μ. Ἕξ, Ὑπαρκτικὸν, Αὐτοουδέτερον, Οὐδετερομεταβατικὸν, Οὐδετεροπεριποιητικὸν, Οὐδετεροκτητικὸν, καὶ Οὐδετεροπαθητικόν.

δ. Ποσαχῶς τὸ Ὑπαρκτικὸν συντάσσεται εἶδος;

μ. Τριχῶς· ἢ Ὀνομαστικῇ μόνῃ, οἷον ἐγώ εἰμι ἡ ἀνάστασις· ἢ Ὀνομαστικῇ καὶ Γενικῇ, οἷον ἐγὼ ὑπάρχω τῶν Μοναχῶν. ἢ Ὀνομαστικῇ, καὶ Δοτικῇ, οἷον ἐστί μοι πλοῦτος.

ἐν τῷ Παθητικῷ τρέπεται.

δ. Ποσαχῶς τὰ Ῥήματα κατ' ἀριθμὸν συντάσσονται τοῖς ὀνόμασι;

μ. Τετραχῶς, ἢ ἑνικὰ ἑνικοῖς, οἷον ὁ Θεὸς ἠγάπησε τὸν κόσμον. ἢ πληθυντικὰ πληθυντικοῖς, οἷον οἱ Πατέρες νουθετοῦσι τὰ τέκνα. ἢ ἑνικὰ πληθυντικοῖς, οἷον ὁ Διδάσκαλος διδάσκει τοὺς Μαθητάς. ἢ πληθυντικὰ ἑνικοῖς, οἷον οἱ Μαθηταὶ τιμῶσι τὸν Διδάσκαλον.

δ. Ποῖα ῥήματα τῶν τεσσάρων τούτων παραδειγμάτων, ἐν τοῖς Παθητικοῖς κατ' ἀριθμὸν μεταβάλλονται;

μ. Τῶν δύο προσεχῶν, καὶ κατ' ἀριθμὸν ἀνομοίων.

δ. Πῶς μεταβάλλονται;

μ. Τὸ μὲν ἑνικὸν ῥῆμα ἐν τοῖς Ἐνεργητικοῖς, πληθυντικῶς συνταασόμενον ὀνόματι, πληθυντικὸν ἐν τοῖς Παθητικοῖς γίνεται· οἷον ὁ Διδάσκαλος διδάσκει τοὺς Μαθητάς· οἱ Μαθηταὶ διδάσκονται ὑπὸ τοῦ Διδασκάλου. Τὸ δὲ πληθυντικὸν ῥῆμα ἐν τοῖς Ἐνεργητικοῖς, ἑνικῶς συνταασόμενον ὀνόματι, ἑνικὸν ἐν τοῖς Παθητικοῖς γίνεται· οἷον οἱ Μαθηταὶ τιμῶσι τὸν Διδάσκαλον· ὁ Διδάσκαλος τιμᾶται ὑπὸ τῶν Μαθητῶν.

δ. Διατὶ τὰ ἑνικὰ πληθυντικά, καὶ τὰ πληθυντικὰ ἑνικά, ἐν τοῖς Παθητικοῖς γίνονται;

μ. Ὅτι τὰ ῥήματα τῇ κρείττονι ἕπονται πτώσει· ἡ δὲ Ὀνομαστικὴ ὀρθὴ καὶ εὐθεῖα οὖσα, κρείττων ἐστὶ

τῶν

δ. Διατὶ τὸ μὲν Τέταρτον τῶν Ἐνεργητικῶν δυσὶν Αἰτιατικαῖς, τὸ δὲ Τέταρτον τῶν Παθητικῶν μιᾷ συντάσσεται;

μ. Ὅτι ἡ μία Αἰτιατικὴ ἐν τῷ παθητικῷ τρέπεται εἰς Ὀνομαστικὴν.

δ. Ποία Αἰτιατικὴ τῶν δύο τρέπεται εἰς Ὀνομαστικὴν ἐν τῷ Παθητικῷ;

μ. Ἡ τοῦ προσώπου σημαντική.

δ. Ποία δὲ μένει;

μ. Ἡ τοῦ μετεχομένου πράγματος σημαντική.

δ. Διδάσκομαι θεωρητικὴν φιλοσοφίαν· πόσαι Αἰτιατικαί εἰσι;

μ. Μία.

δ. Διατί;

μ. Ὅτι αἱ τῶν οὐσιαστικῶν μετὰ τῶν ἐπιθέτων πτώσεις, εἰ καὶ πολλαὶ δοκοῦσιν εἶναι, ἀλλ' οὖν ἐν τῇ συντάξει ἀντὶ μιᾶς λαμβάνονται.

δ. Ὁποίας οὖν δεῖ εἶναι τὰς δύο Αἰτιατικὰς τοῦ Τετάρτου εἴδους τῶν Ἐνεργητικῶν;

μ. Ἀμφοτέρας οὐσιαστικὰς, καὶ προσώπων, ἢ πραγμάτων διαφόρων σημαντικάς.

δ. Τίνι δὲ τὸ Ἕκτον;

μ. Γενικῇ, οἷον ἐπληρώθην εὐφροσύνης.

δ. Διατὶ τὸ μὲν Ἕκτον τῶν Ἐνεργητικῶν Αἰτιατικῇ, καὶ Γενικῇ, τὸ δὲ Ἕκτον τῶν Παθητικῶν, Γενικῇ μόνῃ συντάσσεται;

μ. Ὅτι ἡ ἐν τῷ Ἐνεργητικῷ Αἰτιατικὴ, εἰς Ὀνομαστικὴν ἐν τῷ

τρέπεται εἰς Ὀνομαστικὴν· οἷον ἔδωκέ μοι ἐξουσίαν· ἐδόθη μοι ἐξουσία.

δ. Ἡ δὲ Ὀνομαστικὴ τοῦ ῥήματος ποία;

μ. Ἡ ἐξουσία.

δ. Πόσα Εἴδη τῶν Παθητικῶν ὁμοίως συντάσσονται;

μ. Τρία.

δ. Ποῖα;

μ. Τὸ πρῶτον, τὸ δεύτερον, καὶ τὸ τρίτον.

δ. Τίνι ταῦτα συντάσσονται πτώσει;

μ. Ὀνομαστικῇ.

δ. Διατί;

μ. Ὅτι αἱ τῶν Ἐνεργητικῶν πάσχουσαι πτώσεις, τοῦ Πρώτου ἡ αἰτιατική, τοῦ Δευτέρου ἡ δοτική, καὶ τοῦ Τρίτου ἡ γενική, ἐν τῷ Παθητικῷ, εἰς Ὀνομαστικὰς τρέπονται.

δ. Αἱ δὲ Ὀνομαστικαὶ τῶν Ἐνεργητικῶν τί γίνονται ἐν τῷ Παθητικῷ;

μ. Γενικαὶ μετὰ προθέσεων.

δ. Πόθεν οὖν διακρίνονται ταυτὶ τὰ τρία τῶν Παθητικῶν Εἴδη ἀλλήλων, εἴπερ ὁμοίως συντάσσονται;

μ. Ἐκ τῶν ἐνεργητικῶν αὐτῶν. τὸ Πρῶτον, ἐκ τοῦ πρώτου· τὸ Δεύτερον, ἐκ τοῦ δευτέρου· καὶ τὸ Τρίτον, ἐκ τοῦ τρίτου.

δ. Τίνι δὲ τὸ Τέταρτον;

μ. Αἰτιατικῇ· οἷον διδάσκομαι φιλοσοφίαν.

δ. Ποία ἐστὶν ἐνταῦθα ἡ Αἰτιατική;

μ. Φιλοσοφίαν.

δ. Διατὶ

μ. Αἰτιατικῇ, καὶ Γενικῇ, οἷον ἐπλήρωσε τὴν καρδίαν μου εὐφροσύνης ὁ Κύριος.

## ΠΕΡΙ΄ ΤΩ῀Ν ΠΑΘΗΤΙΚΩ῀Ν.

Ἐδόθη μοι ἐξουσία.

δ. Μοὶ, ποία πτῶσις ἐστί;
μ. Δοτική.
δ. Ὁποία Δοτική;
μ. Συντακτικὴ τοῦ ῥήματος.
δ. Ποίου ῥήματος;
μ. Τοῦ ἐδόθη.
δ. Τὸ Ἐδόθη ποίας διαθέσεως;
μ. Παθητικῆς.
δ. Πόσα τὰ Εἴδη τῆς παθητικῆς διαθέσεως;
μ. Ἕξ, πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον, καὶ ἕκτον.
δ. Ποίου Εἴδους τῶν Παθητικῶν;
μ. Πέμπτου.
δ. Τίνι συντάσσεται πτώσει τὸ Πέμπτον τῶν Παθητικῶν Εἶδος;
μ. Δοτικῇ.
δ. Ποία ἐστὶν ἐνταῦθα ἡ Δοτικὴ τοῦ ῥήματος;
μ. Τὸ, Μοί.
δ. Διατὶ τὸ μὲν Πέμπτον τῶν Ἐνεργητικῶν, Δοτικῇ καὶ Αἰτιατικῇ, τὸ δὲ Πέμπτον τῶν Παθητικῶν Δοτικῇ μόνῃ συντάσσεται;
μ. Ὅτι ἡ Αἰτιατικὴ τοῦ ἐνεργητικοῦ ἐν τῷ παθητικῷ τρέ-

δ. Ποίε ῥήματος;

μ. Τῦ Αἰνεῖτε.

δ. Τὸ Αἰνεῖτε, ποίας Διαθέσεως ἐστιν;

μ. Ἐνεργητικῆς.

δ. Πόσα τὰ Εἴδη τῆς ἐνεργητικῆς διαθέσεως;

μ. Ἕξ, πρῶτον, δεύτερον, τρίτον, τέταρτον, πέμπτον, καὶ ἕκτον.

δ. Ποῖε εἴδες τῶν ἐνεργητικῶν;

μ. Πρώτε.

δ. Τίνι πτώσει τὸ πρῶτον τῶν ἐνεργητικῶν συντάσσεται Εἶδος;

μ. Αἰτιατικῇ.

δ. Ποία ἐστὶν ἡ Αἰτιατικὴ πτῶσις τῦ Αἰνεῖτε ῥήματος;

μ. Τὸν Κύριον.

δ. Ἡ δὲ Ὀνομαστικὴ τῦ ῥήματος ποία;

μ. Πάντα τὰ ἔθνη.

δ. Τὸ Δεύτερον δὲ τῶν ἐνεργητικῶν Εἶδος, τίνι συντάσσεται πτώσει;

μ. Δοτικῇ, οἷον ἄσω τῷ Κυρίῳ.

δ. Τὸ δὲ Τρίτον τίνι;

μ. Γενικῇ, οἷον φροντίζω τῆς ἀρετῆς. ὀλιγορῶ τῆς ἀμαθίας.

δ. Τὸ δὲ Τέταρτον τίνι;

μ. Δυσὶν Αἰτιατικαῖς, οἷον διδάσκεις με γραμματικήν.

δ. Τίνι δὲ τὸ Πέμπτον;

μ. Δοτικῇ, καὶ Αἰτιατικῇ, οἷον θύω τῷ Θεῷ θυσίαν.

δ. Τὸ δὲ Ἕκτον τίνι;

μ. Αἰ-

δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τοῦ Ἐπιῤῥήματος.
δ. Ποίου ἐπιῤῥήματος;
μ. Τοῦ Χωρίς.

Ὢ τοῦ παραδόξου θαύματος.

δ. Θαύματος, ποία πτῶσις ἐστί;
μ. Γενική.
δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τοῦ Ἐπιῤῥήματος.
δ. Ποίου Ἐπιῤῥήματος;
μ. Τοῦ Ὢ.

Ἔξω τῆς πύλης.

δ. Τῆς πύλης, ποία πτῶσις ἐστί;
μ. Γενική.
δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τοῦ Ἐπιῤῥήματος.
δ. Ποίου Ἐπιῤῥήματος;
μ. Τοῦ ἔξω.

## Τεχνολογία Η'. τῶν διαφόρων πτώσεων κατὰ τὴν φύσιν τῶν Ῥημάτων.

## ΠΕΡΙ' ΤΩ~Ν Ε'ΝΕΡΓΗΤΙΚΩ~Ν.

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη.

δ. ΤΟ'ν Κύριον, ποία πτῶσις ἐστίν;
μ. Αἰτιατική.
δ. Ὁποία Αἰτιατική.
μ. Συντακτικὴ τοῦ Ῥήματος.

δ. Ποία

οἷον ἀποκόπτει, ἀποτέμνει. ἐλευθερίαν, οἷον ἀπαλλάττει. τὸ μακρὰν, οἷον ἄπεστι.

δ. Πόσα δὲ ἡ Ὑπό;

μ. Ἕξ· τὸ ὑποκάτω, οἷον ὑπέχω, ὑπερείδω. ὑποταγὴν, οἷον ὑπακούω, ὑπείκω. τὸ ὀλίγον, οἷον ὑπέρυθρος. τὸ κατὰ σμικρὸν, οἷον ὑπέρχομαι, ὑφέρπω. τὸ λάθρα, οἷον ὑποκλέπτω, ὑφαιροῦμαι. περιτομὴν, οἷον ὑποτέμνω, ὑποκόπτω.

δ. Ἡ δὲ Ὑπὲρ, πόσα;

μ. Τέσσαρα· βοήθειαν, οἷον ὑπερμαχῶ. τὸ ἐπέκεινα, οἷον ὑπερακοντίζω. τὸ πλέον, οἷον ὑπερπλουτῶ, ὑπερφρονῶ. τὸ ἐπάνω, οἷον ὑπερέχειν τῆς κεφαλῆς τὴν χεῖρα. Ἔσθ' ὅτε δὲ καὶ περιττεύουσιν αἱ προθέσεις, εὐφραδίας χάριν, ἢ τοῦ μέτρου ἕνεκεν.

## Τεχνολογία Ζ'. τῶν διαφόρων πτώσεων μετ' Ἐπιῤῥημάτων καὶ Συνδέσμων.

Ἕνεκεν τοῦ ὀνόματός σου.

δ. Τοῦ ὀνόματος, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Συντακτικὴ τοῦ Αἰτιολογικοῦ Συνδέσμου.

δ. Ποίου;

μ. Τοῦ Ἕνεκεν.

Χωρὶς ἐμοῦ.

δ. Ἐμοῦ, ποία πτῶσις ἐστί;

μ. Γενική.

φροτίμησιν, οἷον αὐθαιρεῖται ζωῆς θάνατον.

δ. Ἡ δὲ Ἐπὶ, πόσα;

μ. Ὀκτὼ· ἐπίτασιν, οἷον ἐπίψογος. στάσιν μετὰ κίνησιν, οἷον ἐπέστη. τὴν ἐν, οἷον ἐπουράνιος. τὸ ὕστερον, οἷον ἐπίλογος, ὁ μετὰ τὸν λόγον. ἀκολούθησιν, οἷον ἐπωθῶ. θέσιν ἐπίτινος, οἷον ἐπιτίθημι. ἐξουσίαν, οἷον ἔπεστί μοι ποιεῖν τόδε. ὑπόσχεσιν, οἷον ἐπαγγελία.

δ. Ἡ δὲ Περὶ, πόσα;

μ. Ἑπτὰ· τὸ κύκλω, οἷον περιφορὰ, περιδίνησις. τὸ κρεῖττον, οἷον περιγίγνομαι. τὸ λίαν, οἷον περιουσία, περίλυπος, περίφοβος. τὸ ζῶ, οἷον περίεστι. σωτηρίαν, οἷον περιεγένετο, ἀντὶ τοῦ ἐσώθη. καταφρόνησιν, οἷον περιορῶ τοὺς πολεμικοὺς κινδύνους. φροντίδα, οἷον ὥστε μηδὲ ἧς περιορώμενος Θουκιδίδης ἐν τῇ τετάρτῃ.

δ. Ἡ δὲ Ἀμφὶ, πόσα;

μ. Δύο· τὸ ἰσόρροπον, οἷον ἀμφιβάλλω. τὸ ἑκατέρωθεν, οἷον ἀμφίβιος, ἀμφιπλέκω.

δ. Πόσα δὲ ἡ Ἀπό;

μ. Δώδεκα· ἄρνησιν, οἷον ἀπόφημι. ἔμφασιν, οἷον ἀπεργάζομαι. χωρισμὸν, οἷον ἀφίσαμαι. ἀντίδοσιν, οἷον ἀποδίδωμι καρπὸν, οἷον ἀπολαμβάνω, ἀποφέρω. στέρησιν, οἷον ἀποκληρονόμος, ἀπογαλακτίζω. ἀπολογίαν, οἷον ἀποκρίνομαι. τὸ πεφεισμένον, οἷον ἀποζῆν, ἀντὶ τοῦ εὐτελῶς ζῆν. ἀσθένειαν, οἷον ἀπεῖπον, ἀπαγορεύει. τὸ ἐκ μέρους, οἷον

διαλλάττειν, ἀφ' οὗ διαλλαγή. συκοφαντίαν, οἷον διαβάλλει.

δ. Ἡ δὲ Μετὰ, πόσα;

μ. Ὀκτὼ· μετοχὴν, οἷον μετέχω, μεταλαμβάνω. ἀλλαγὴν, οἷον μεθαρμόττω. τὸ ὀπίσω, οἷον μετάφρενον, μετάταρσον. τὸ μεταξὺ, οἷον μεταίχμιον. κλίσιν, οἷον μετάπεμπτος. μεταβολὴν, οἷον μεταποιῶ, μετασκευάζω. τὴν ἀπὸ τόπου εἰς τόπον κίνησιν, οἷον μέτοικος, μετανάστης. τὸ ὕστερον, οἷον μεταγενέστερος.

δ. Ἡ δὲ Παρὰ, πόσα;

μ. Ἐννέα· τὸ ἔξω, οἷον παράλογον, παραλογισμὸς, παράβασις. σύγκεισιν, οἷον παραβάλλω, παρατίθημι. τὴν σὺν, οἷον παραπολαύει, παραδυναστεύει. διάβασιν, οἷον παρέρχομαι. παραῤῥέει. παραγωγὴν, οἷον παράγει. ἀποδοχὴν, οἷον παραδέχομαι, παραλαμβάνω. τὸ πλησίον, οἷον παρίσταται, πάρεστιν. ἀλλοίωσιν, οἷον παραλλάττει. ἀφαίρεσιν, οἷον παραιροῦμαι.

δ. Ἡ δὲ Ἀντὶ, πόσα;

μ. Ἑπτά· τὸ ἴσον, οἷον ἀντίθεος, ἀντὶ τοῦ ἰσόθεος. τὸ ἐναντίον, οἷον ἀντίθεον πρόσταγμα, τὸ ἐναντίον τῷ Θεῷ, ἀνθίστασθαι, ἀντιλέγειν, ἀντίδικος. τόπον τινὸς, οἷον ἀνθύπατος, ὁ τόπον ἐπέχων ὑπάτου. ἀμοιβὴν, οἷον ἀντευεργετεῖν, ἀντιπελαργεῖν. βοήθειαν, οἷον ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. ἰδιοποίησιν, οἷον ἀντιποιεῖσθαι τῆς ἀρετῆς.

σαγορεύει τὺς φίλους. ἐπιταγὴν, οἷον προςάττω.

δ. Ἡ δὲ Πρὸ, πόσα;

μ. Πέντε· τὸ ἔμπροσθεν, οἷον προκείμενος δρόμος, προάστειον. τὸ πρότερον, οἷον προγονέστερος. τὸ διόλου, οἷον πρόπαν ἦμαρ, παρὰ Ποιηταῖς. ἐπίδοσιν, οἷον προκοπὴ, προέρχομαι. προτίμησιν, οἷον προκάθημαι, πρόεδρος.

δ. Ἡ δὲ Ἀνὰ, πόσα;

μ. Ἑπτὰ· τὸ ἔμπαλιν, οἷον ἀναγινώσκομαι, ἀνατρέχω, ἀναδρομή. τὸ ἄνω, οἷον ἀναβαίνω, ἀνάστασις, ἀνάληψις. τὸ ἐμφανὲς, οἷον ἀναγορεύω, ἀναγράφω. τὸ πέριξ, οἷον ἀναδέω, ἀνελίσσω. ἐπίτασιν, οἷον ἀναδίδωμι, ἀνακείνω τὴν ἐξ, οἷον ἀναγγέλλω, ἀντὶ τοῦ ἐξαγγέλλω. φονεῖ, οἷον ἀναιρεῖ.

δ. Ἡ δὲ Κατὰ, πόσα;

μ. Τέσσαρα· ἐπίτασιν, οἷον κατέφαγε, κατέπιε, κατεσθίει. ἐναντιότητα, οἷον κατηγορῶ. τὸ κάτω, οἷον κατέρχομαι, καταβαίνω. φιλίαν, οἷον καταλλάττειν, ἐξ οὗ καταλλαγή.

δ. Ἡ δὲ Διὰ, πόσα;

μ. Ἐννέα· χωρισμὸν, εἴτε μερισμὸν, οἷον διαφωνῶ, διαιρῶ, διανέμω. τὸ διὰ μέσου, οἷον διαπερῶ, διέρχομαι. τὴν σὺν, οἷον διαπλέκω, ἀντὶ τοῦ συμπλέκω. διάθεσιν, οἷον διάκειμαι. τὸ πέριξ, οἷον διακείρω, διακόπτω. ἐπίτασιν, εἴτε ἔμφασιν, οἷον διακελεύομαι, διακοσμῶ, διεγείρομαι. τὸ διόλου, οἷον διαμπερὲς, διαπεραίνω. φιλίαν, οἷον

# Τεχνολογία, Ε'. τῶν διαφόρων σημασιῶν τῆ ἐν συνθέσει Προθέσεων.

δ. ΗΕ'ν πρόθεσις ἐν τῇ συνθέσει, πόσα σημαινόμενα ἔχει;

μ. Πέντε· τὸ μέσον, οἷον ἐμπίπτω. ἐπιμονὴν, οἷον ἐμμένω. ἔνστασιν, οἷον ἐνίσταμαι. μετάθεσιν τάξεως ἀντιστρόφως, οἷον ἐναλλάττω. τὸ δυνατὸν, οἷον ἔνεστιν.

δ. Ἡ δὲ Εἰς ἐν τῇ συνθέσει πόσα;

μ. Ἓν· τὸ ἔσω, οἷον εἰσέρχομαι.

δ. Ἡ δὲ Ἐξ, πόσα;

μ. Ὀκτώ· τὸ ὅλον, οἷον ἐξέφαγεν, ἐξέπιεν, ἀντὶ τοῦ ὅλως ἔφαγε καὶ ἔπιε. τὸ λίαν, οἷον ἐξιθύνειν, ἀντὶ τοῦ λίαν ἰθύνειν. ἔκτασιν, οἷον ἐκτείνειν. τὸ ἔξω, οἷον ἔκφρων, ἀντὶ τοῦ ἔξω φρενῶν. τὸ δίχα, οἷον ἐκτέμνειν. ὑπεροχὴν, οἷον ἔξοχος. ἀλλοίωσιν, οἷον ἐξαλλάττει τὸ χρῶμα. ἄδειαν, οἷον ἔξεστιν.

δ. Ἡ δὲ Σὺν, πόσα;

μ. Τρία· κοινωνίαν, οἷον συμμαθητής. τὸ διόλου, οἷον συγκαλύπτω. τὸ ὀλίγον, οἷον σύνοξυς.

δ. Ἡ δὲ Πρὸς, πόσα;

μ. Ἓξ· τὸ πλησίον, οἷον προσέρχομαι, πρόσκειμαι. καταφυγὴν, οἷον προσφεύγω. προσθήκην, οἷον προστίθημι, προσλαμβάνω. τὸ κατ' ἐπιπολὴν, οἷον προσψαύω, προσάπτομαι. ἀσπασμὸν, οἷον προσαγο-

Ὁ στρατιώτης ὑπὸ τὸν στρατηγόν.

δ. Τὸν στρατηγὸν, ποία πτῶσις ἐστίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Ὑπὸ προθέσεως,

δ. Τί σημαίνει;

μ. Τὸ ὑποκάτω.

Ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον.

δ. Καπνοῦ, ὁποία γενική ἐστι;

μ. Συντακτικὴ τῆς Ὑπὲρ προθέσεως.

δ. Ἡ Ὑπὲρ πρόθεσις μετὰ γενικῆς συνταοσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Τρία, βοήθειαν, αἰτίαν, καὶ τὸ ἐπάνω.

δ. Τὶ σημαίνει ἐνταῦθα ἡ Ὑπέρ;

μ. Τὸ ἐπάνω.

Ὑπὲρ ἄνθρωπον φρονεῖ.

δ. Ἄνθρωπον, ὁποία αἰτιατική ἐστι;

μ. Συντακτικὴ τῆς Ὑπὲρ προθέσεως.

δ. Ἡ Ὑπὲρ πρόθεσις μετὰ Αἰτιατικῆς συνταοσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Δύο, τὸ πλέον, καὶ ἐπέκεινα.

δ. Κατὰ ποῖον σημαινόμενον ἐνταῦθα λαμβάνεται;

μ. Κατὰ τὸ πλέον.

δ. Τὶ σημαίνει ἐνταῦθα ἡ Ἀμφί;
μ. Ὅ,τι καὶ ἡ Περί.

Ἀπὸ τῆς πόλεως.

δ. Τῆς πόλεως, ποία πτῶσις ἐστί;
μ. Γενική.
δ. Ὁποία Γενική.
μ. Συντακτικὴ τῆς Ἀπὸ προθέσεως.
δ. Τί σημαίνει;
μ. Τὴν ἀπὸ τόπου κίνησιν.

Ὑπὸ νόσου ἐ περιπατεῖ.

δ. Νόσου, ποία πτῶσις ἐστί;
μ. Γενική.
δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τῆς Ὑπὸ προθέσεως.
δ. Ἡ Ὑπὸ πρόθεσις μετὰ γενικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;
μ. Δύο, τὸ αἴτιον, καὶ τὸ ὑποκάτω.
δ. Τὶ σημαίνει ἐνταῦθα ἡ Ὑπό;
μ. Τὸ αἴτιον.

Ὑπὸ δένδρῳ.

δ. Δένδρῳ, ποία πτῶσις ἐστί;
μ. Δοτική.
δ. Ὁποία Δοτική;
μ. Συντακτικὴ τῆς Ὑπὸ προθέσεως.
δ. Τὶ σημαίνει;
μ. Τὸ ὑποκάτω.

Ὁ στρα-

δ. Τὶ σημαίνει;

μ. Τὸ αἴτιον.

Δέδοικα περὶ ξανθῶ Μενελάῳ.

δ. Μενελάῳ, ποία πτῶσις ἐςί;

μ. Δοτική.

δ. Ὁποία Δοτική;

μ. Συντακτικὴ τῆς Περὶ προθέσεως.

δ. Ἡ Περὶ πρόθεσις μετὰ δοτικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Δύο, τὸ αἴτιον, καὶ τὸ κύκλῳ.

δ. Τὶ σημαίνει ἐνταῦθα ἡ Περί;

μ. Τὸ αἴτιον ποιητικῶς.

Περὶ τὴν πόλιν τὸ ςράτευμα.

δ. Τὴν Πόλιν, ποία πτῶσις ἐςίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Περὶ προθέσεως.

δ. Τὶ σημαίνει;

μ. Τὸ κύκλῳ.

Οἱ ἀμφὶ Δημόκριτον.

δ. Δημόκριτον, ποία πτῶσις ἐςίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Ἀμφὶ προθέσεως.

δ. Ἡ Ἀμφὶ πρόθεσις μετὰ τίνων συντάσσεται πτώσεων;

μ. Μεθ' ὧν καὶ ἡ Περί.

μ. Χρόνον.

Ἐπὶ τῷ Ἀρχιερεῖ τὰ τῆς Ἐκκλησίας πράγματα.

δ. Τῷ Ἀρχιερεῖ, ποία πτῶσις ἐστί;

μ. Δοτική.

δ. Ὁποία Δοτική;

μ. Συντακτικὴ τῆς Ἐπὶ Προθέσεως.

δ. Ἡ Ἐπὶ πρόθεσις μετὰ δοτικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Πέντε· αἰτίαν, τὸ ἐπάνω, τὸ ὕστερον, αὐτεξουσιότητα, καὶ ἐπιβουλήν.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Ἐπί;

μ. Αὐτεξουσιότητα.

Ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο.

δ. Τὴν Ἀττικὴν ποία πτῶσις ἐστίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Ἐπὶ προθέσεως.

δ. Ἡ Ἐπὶ πρόθεσις μετὰ αἰτιατικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Δύο, κίνησιν, καὶ δόλον.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Ἐπί;

μ. Κίνησιν.

Περὶ σοῦ προσεφώνησε.

δ. Σοῦ, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Συντακτικὴ τῆς Περὶ προθέσεως.

Παρὰ τὸ δίκαιον πράττει.

δ. Τὸ δίκαιον ποία πτῶσις ἐςίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Παρὰ Προθέσεως.

δ. Ἡ Παρὰ μετὰ Αἰτιατικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Τέσσαρα, τὸ ἐγγὺς, κίνησιν, τὸ διατὶ, καὶ τὸ ἔξω.

δ. Τί σημαίνει ἐνταῦθα;

μ. Τὸ ἔξω.

Ἀντὶ τῦ μάννα χολὴν, ἀντὶ τῦ ὕδατος ὄξος.

δ. Ὕδατος, ποία πτῶσις ἐςί;

μ. Γενική.

δ. Ὁποία γενική;

μ. Συντακτικὴ τῆς ἀντὶ προθέσεως.

δ. Τί σημαίνει;

μ. Ἀμοιβήν.

Ἐπὶ Ἀρχιερέως Ἄννα καὶ Καϊάφα.

δ. Ἀρχιερέως, ποία πτῶσις ἐςί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Συντακτικὴ τῆς Ἐπὶ Προθέσεως.

δ. Ἡ Ἐπὶ πρόθεσις μετὰ γενικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Τέσσαρα, τὸ ἐπάνω, χρόνον, τὸ περί τινα καὶ ἔν τινι, καὶ κίνησιν ἀττικῶς.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Ἐπί;



μ. Χρό-

δ. Ὁποία Γενική;

μ. Συντακτικὴ τῆς Προθέσεως.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Μετά;

μ. Ἕνωσιν.

δ. Μετὰ δὲ δοτικῆς συντασσομένη ἡ Μετά, τί σημαίνει;

μ. Τὸ αὐτὸ ποιητικῶς, οἷον μετὰ τριτάτοισιν ἄνασσεν.

Μετὰ σὲ ἐγὼ ἦλθον.

δ. Σέ, ποία πτῶσις ἐστίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική;

μ. Συντακτικὴ τῆς Μετὰ Προθέσεως.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Μετά.

μ. Τὸ ὕστερον.

Παρὰ τοῦ βασιλέως ἡ δικαιοσύνη.

δ. Τοῦ βασιλέως, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική;

μ. Συντακτικὴ τῆς Παρὰ Προθέσεως.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Παρά;

μ. Τὴν ἀπό τινος κίνησιν.

Παρὰ τῷ βασιλεῖ κάθηται.

δ. Τῷ βασιλεῖ, ποία πτῶσις ἐστί;

μ. Δοτική.

δ. Ὁποία δοτική;

μ. Συντακτικὴ τῆς Παρὰ Προθέσεως.

δ. Τί σημαίνει;

μ. Τὸ πλησίον.

νόμενα ἔχει;

μ. Τρία, ὁμοιότητα, χρόνον, καὶ κίνησιν.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Κατά.

μ. Χρόνον.

Διά σοῦ τοῦτο γένοιτο.

δ. Σοῦ, ποία πτῶσις ἐστί.

μ. Γενική.

δ. Ὁποία Γενική.

μ. Συντακτική τῆς Διὰ Προθέσεως.

δ. Ἡ Διὰ μετὰ γενικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Δύο, ἐνέργειαν, καὶ τὸ μέσον.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Διά.

μ. Ἐνέργειαν.

Διὰ τὰ χρήματα πάντα γίνονται.

δ. Τὰ χρήματα, ποία πτῶσις ἐστίν;

μ. Αἰτιατική.

δ. Ὁποία Αἰτιατική.

μ. Συντακτικὴ τῆς Διὰ Προθέσεως.

δ. Ἡ Διὰ Πρόθεσις μετὰ αἰτιατικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Δύο, αἰτίαν, καὶ τὸ μέσον.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Διά;

μ. Αἰτίαν.

Μετὰ σοῦ ὁ Κύριος.

δ. Σοῦ, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία

μ. Δύο, τόπον, καὶ χρόνον.
δ. Τὶ σημαίνει ἐνταῦθα;
μ. Τόπον.

Ἀνὰ τὴν πόλιν.

δ. Τὴν πόλιν, ποία πτῶσις ἐςίν;
μ. Αἰτιατική.
δ. Ὁποία Αἰτιατική.
μ. Συντακτικὴ τῆς Ἀνὰ Προθέσεως.
δ. Τὶ σημαίει;
μ. Τὴν εἰς τόπον κίνησιν.

Κατὰ γῆς κάθημαι.

δ. Γῆς, ποία πτῶσις ἐςί.
μ. Γενική.
δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τῆς Κατὰ Προθέσεως.
δ. Ἡ Κατὰ μετὰ γενικῆς συνταοσομένη, πόσα σημαινόμενα ἔχει;
μ. Τέσαρα, ἐπιφορὰν, κατηγορίαν, τὸ ἐπάνω, καὶ τὸ περί τι.
δ. Τὶ σημαίνει ἐνταῦθα ἡ Κατά;
μ. Τὸ ἐπάνω.

Καθ' ἡμᾶς ἐγένετο Ἀνὴρ σοφός.

δ. Ἡμᾶς, ποία πτῶσις ἐςίν;
μ. Αἰτιατική.
δ. Ὁποία Αἰτιατική;
μ. Συντακτικὴ τῆς Κατὰ Προθέσεως.
δ. Ἡ κατὰ μετὰ αἰτιατικῆς συνταοσομένη, πόσα σημαινόμενα

μ. Δοτική.
δ. Ὁποία Δοτική;
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας προθέσεως;
μ. Τῆς Πρός
δ. Τὶ σημαίνει;
μ. Τὸ πλησίον.

Πορεύομαι πρὸς τὸν Ἰωάννην.

δ. Τὸν Ἰωάννην, ποία πτῶσις ἐστί;
μ. Αἰτιατική.
δ. Ὁποία Αἰτιατική;
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας Προθέσεως;
μ. Τῆς Πρός.
δ. Ἡ Πρὸς μετὰ αἰτιατικῆς συντασσομένη, πόσα σημαινόμενα ἔχει;
μ. Τέτταρα, κίνησιν, ἕνωσιν, λόγον, καὶ παράδειγμα.
δ. Τὶ σημαίνει ἐνταῦθα ἡ πρός.
μ. Κίνησιν.

Πρὸ τῆς θύρας

δ. Θύρας, ποία πτῶσις ἐστί;
μ. Γενική.
δ. Ὁποία Γενική.
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας Προθέσεως;
μ. Τῆς πρό.
δ. Ἡ Πρὸ πόσα σημαινόμενα ἔχει;

μ. Τῆς Ἐξ.

δ. Τὶ σημαίνει;

μ. Τὴν ἀπό τινος κίνησιν,

Σὺν τῷ Ἰωάννῃ.

δ. Τῷ Ἰωάννῃ, ποία πτῶσις ἐστί.

μ. Δοτική.

δ. Ὁποία Δοτική.

μ. Συντακτικὴ τῆς Προθέσεως.

δ. Ποίας Προθέσεως,

μ. Τῆς Σύν.

δ. Τί σημαίνει;

μ. Ὁμόνοιαν.

Πρὸς Θεοῦ τὰ ἀγαθά.

δ. Θεοῦ, ποία πτῶσις ἐστί;

μ. Γενική.

δ. Ὁποία Γενική.

μ. Συντακτικὴ τῆς Προθέσεως.

δ. Ποίας Προθέσεως;

μ. Τῆς Πρός.

δ. Ἡ Πρὸς μετὰ γενικῆς συνταοσομένη, πόσα σημαινόμενα ἔχει;

μ. Τέτταρα, τὴ ἀπὸ προσώπου κίνησιν, ὅρκον, τὸ ἐνώπιον, καὶ τὸ καθῆκον.

δ. Τί σημαίνει ἐνταῦθα ἡ Πρός;

μ. Τὴν ἀπὸ προσώπου κίνησιν.

Ἐκάθητο πρὸς τοῖς ποσί.

δ. Τοῖς ποσὶ, ποία πτῶσις ἐστί;

μ. Δο-

# Τεχνολογία, Δ΄. τῶν διαφόρων πτώσεων μετὰ τῶν ἐν συντάξει Προθέσεων.

Ἐν οἴκῳ Κυρίου.

δ. Οἴκῳ, ποία πτῶσις ἐςί;
μ. Δοτική.
δ. Ὁποία Δοτική.
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας Προθέσεως,
μ. Τῆς Ἐν.
δ. Τί σημαίνει ἡ Ἐν;
μ. Τὸ ἔντινι.

Εἰς ναόν.

δ. Ναὸν, ποία πτῶσις ἐςίν;
μ. Αἰτιατική.
δ. Ὁποία Αἰτιατική;
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας Προθέσεως;
μ. Τῆς Εἰς.
δ. Τί σημαίνει;
μ. Κίνησιν εἴς τι.

Ἐξ ἀγορᾶς.

δ. Ἀγορᾶς, ποία πτῶσις ἐςί,
μ. Γενική.
δ. Ὁποία Γενική;
μ. Συντακτικὴ τῆς Προθέσεως.
δ. Ποίας Προθέσεως.

μ. Τῆς

δ. Συμφώνησον ταῦτα.

μ. Ἀνὴρ, γένους ἀρσενικοῦ· Μακάριος, γένους ἀρσενικοῦ. Ἀνὴρ, ἀριθμοῦ ἑνικοῦ· Μακάριος, ἀριθμοῦ ἑνικοῦ. Ἀνὴρ, πτώσεως ὀνομαστικῆς· Μακάριος, πτώσεως ὀνομαστικῆς.

## Περὶ τῆς τρίτης Συμφωνίας τοῦ Ἀναφορικοῦ μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται.

δ. Ἔστι καὶ ἄλλη Συμφωνία ἐνταῦθα;

μ. Ναὶ, ὃς ἀνήρ.

δ. Ποία.

μ. Τὸ Ἀναφορικὸν μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται.

δ. Ποῖόν ἐστι τὸ Ἀναφορικόν;

μ. Τὸ, ὅς.

δ. Ποῖον δὲ τὸ πρὸς ὃ ἀναφέρεται;

μ. Τὸ, Ἀνήρ.

δ. Εἰς πόσα συμφωνεῖ τὸ Ἀναφορικὸν μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται;

μ. Ποτὲ μὲν εἰς δύο, εἰς γένος, καὶ εἰς ἀριθμόν· οἷον ὁ Βασίλειος, οὗ τὸ βιβλίον. ποτὲ δὲ εἰς τρία, εἰς γένος, εἰς ἀριθμὸν, καὶ εἰς πτῶσιν.

δ. Εἰς πόσα συμφωνεῖ ἐνταῦθα;

μ. Εἰς τρία.

δ. Συμφώνησον οὖν αὐτά;

μ. Ὅς, γένους ἀρσενικοῦ· Ἀνὴρ, γένους ἀρσενικοῦ. ὅς, ἀριθμοῦ ἑνικοῦ· Ἀνὴρ, ἀριθμοῦ ἑνικοῦ. ὅς, πτώσεως ὀνομαστικῆς· Ἀνὴρ, πτώσεως ὀνομαστικῆς.

Τεχνο-

μ. Ἑνικοῖς μὲν, διὰ τὸ ἑνικὸν χαρακτῆρα τῆς λέξεως. πληθυντικοῖς δὲ, διὰ τὴν σημασίαν, πλήθους σημαντικὴν οὖσαν.

## Περὶ τῆς δευτέρας Συμφωνίας τοῦ Οὐσιαστικοῦ μετὰ τοῦ Ἐπιθέτου.

δ. Ἔστιν ἑτέρα συμφωνία ἐνταῦθα;
μ. Ναὶ, Μακάριος ἀνήρ.
δ. Ποία ἐστὶν αὕτη;
μ. Τὸ Οὐσιαστικὸν μετὰ τοῦ Ἐπιθέτου.
δ. Ποῖον ἐστὶ τὸ Οὐσιαστικόν;
μ. Ἀνήρ.
δ. Ποῖον δὲ τὸ Ἐπίθετον;
μ. Μακάριος.
δ. Τί διαφέρει τὸ Οὐσιαστικὸν τοῦ Ἐπιθέτου;
μ. Ὅτι τὸ μὲν οὐσιαστικὸν κλίνεται μονογενῶς, τὸ δὲ Ἐπίθετον τριγενῶς.
δ. Κλῖνον τὸ Ἐπίθετον τριγενῶς;
μ. Ὁ μακάριος, ἡ μακαρία, τὸ μακάριον.
δ. Εἰς πόσα συμφωνεῖ τὸ οὐσιαστικὸν μετὰ τοῦ ἐπιθέτου;
μ. Κοινῶς μὲν εἰς τρία, εἰς γένος, εἰς ἀριθμὸν, καὶ εἰς πτῶσιν· ἀττικῶς δὲ, ποτὲ μὲν εἰς ἓν, εἰς γένος μόνον, οἷον ὁ δημοσθένης τῶν σοφῶν. ποτὲ δὲ εἰς δύο, εἰς γένος, καὶ εἰς ἀριθμόν· οἷον οἱ σοφοὶ τῶν ἀνθρώπων.
δ. Ἡ συμφωνία ἐνταῦθα κοινῶς ἐστιν, ἢ ἀττικῶς;
μ. Κοινῶς.

δ. Συμ-

μ. Ἀνὴρ, ἀριθμοῦ ἑνικοῦ ἐπορεύθη, ἀριθμοῦ ἑνικοῦ. Ἀνὴρ προσώπου τρίτου ἐπορεύθη, προσώπου τρίτου.

δ. Διατὶ τὸ Ἀνήρ ἐστι προσώπου τρίτου;

μ. Ἢ ὅτι πάντα τὰ ὀνόματα τρίτου προσώπου εἰσὶ, πλὴν τῶν Κλητικῶν αὐτῶν, δευτέρου προσώπου οὐσῶν· καὶ τῶν συνταττομένων τοῖς πρώτοις, καὶ δευτέροις προσώποις τῶν πρωτοτύπων Ἀντωνυμιῶν, οἷον ἐγὼ εἰμὶ γραμματικός· σὺ εἶ φιλόσοφος. Ἢ ὅτι συνεπινοεῖται τὸ, ἐκεῖνος, ἔξωθεν. καὶ γὰρ παντὶ ὀνόματι σχεδὸν σύνεστιν ἤτοι δυνάμει, ἢ ἐνεργείᾳ, πρῶτον, ἢ δεύτερον, ἢ τρίτον Ἀντωνυμίας πρόσωπον. Ἐνεργείᾳ μὲν, ὡς τὸ, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον. δυνάμει δὲ ὅτε συνυπακούεται τὸ τῆς Ἀντωνυμίας πρόσωπον ἔξωθεν.

δ. Αἱ πληθυντικαὶ ὀνομαστικαὶ τῶν οὐδετέρων ὀνομάτων εἰς πόσα συμφωνοῦσι τῷ ῥήματι;

μ. Κοινῶς μὲν εἰς δύο, εἰς ἀριθμὸν καὶ εἰς πρόσωπον· ἀττικῶς δὲ εἰς ἕν, εἰς πρόσωπον μόνον· οἷον τὰ παιδία παίζει, ἀντὶ τοῦ παίζουσιν.

δ. Αἱ δὲ ὀνομαστικαὶ ἑνικαὶ τῶν περιληπτικῶν ὀνομάτων, εἰς πόσα συμφωνοῦσιν;

μ. Εἰς δύο τε, καὶ εἰς ἕν, εἰς ἀριθμόν τε δηλαδὴ, καὶ εἰς πρόσωπον· οἷον ὁ δῆμος λέγει. καὶ εἰς πρόσωπον μόνον· οἷον ὁ δῆμος λέγουσι. καὶ ἡ πληθὺς πεποίηκε, καὶ ἡ πληθὺς πεποιήκασι.

δ. Διατὶ τὰ ἑνικὰ τῶν περιληπτικῶν ὀνομάτων, ἑνικοῖς τε καὶ πληθυντικοῖς συμφωνοῦσι ῥήμασιν;

μ. Ἐν-

μ. Οὕτω.

δ. Διατὶ οὖν καὶ ταῦτα τοῖς λοιποῖς ἑκάστῳ μέρει Λόγου παρεπομένοις οὐ προσέθηκας;

μ. Διὰ τὸ ἐπικρατοῦν ἔθος. προστεθέντα γὰρ ταῦτα, καινοπρεπῆ δόξειαν, ἀσυνήθη ὄντα.

## Τεχνολογία, Γ'. τῶν τριῶν Συμφωνιῶν κατὰ τὴν σύνταξιν.

### Περὶ τῆς πρώτης Συμφωνίας, τῆς Ὀνομαστικῆς μετὰ τοῦ Ῥήματος.

δ. Πόσαι εἰσὶν αἱ Συμφωνίαι;

μ. Τρεῖς, ἡ ὀνομαστικὴ μετὰ τοῦ ῥήματος· τὸ οὐσιαστικὸν μετὰ τοῦ Ἐπιθέτου· τὸ Ἀναφορικὸν μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται.

δ. Μακάριος Ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· ἔστιν ἐνταῦθα συμφωνία τίς;

μ. Ναὶ ἐστίν· ἀνὴρ ἐπορεύθη.

δ. Ποία τῶν τριῶν τούτων;

μ. Ἡ Ὀνομαστικὴ μετὰ τοῦ Ῥήματος.

δ. Ποία ἐστὶν ἡ ὀνομαστική;

μ. Ἀνήρ.

δ. Τὸ δὲ Ῥῆμα ποῖον;

μ. Ἐπορεύθη.

δ. Εἰς πόσα συμφωνεῖ ἡ ὀνομαστικὴ μετὰ τοῦ ῥήματος;

μ. Εἰς δύο, εἰς ἀριθμὸν, καὶ εἰς πρόσωπον.

δ. Συμφώνησον τὴν ὀνομαστικὴν μετὰ τοῦ ῥήματος;

μ. Αἰτιατικῆς.

δ. Ποίου προσώπȣ;

μ. Δευτέρου.

δ. Ποίας κλίσεως;

μ. Οὐδεμιᾶς.

δ. Διατί;

μ. Ὅτι ἑκάστη τῶν Πρωτοτύπων Ἀντωνυμιῶν ἰδίας ἔλαχε κλίσεως.

δ. Πῶς κλίνεται;

μ. Σὺ, σοῦ, σοὶ, σὲ.

δ. Παρέπονται καὶ ἄλλ᾽ ἄττα τοῖς ὀκτὼ τοῦ Λόγȣ μέρεσι, παρὰ τὰ τούτοις ἀποδοθέντα;

μ. Ναὶ παρέπονται, τῷ μὲν Ὀνόματι, Ἄρθρῳ τε, καὶ Ἀντωνυμίᾳ, κλίσις· τῷ δὲ Ῥήματι, θέμα· τῇ δὲ Μετοχῇ, ἀμφότερα, θέμα τε, καὶ κλίσις.

δ. Τὸ εἶδος δὲ καὶ τὸ σχῆμα παρέπεται καί τισιν ἄλλοις παρὰ τὰ οἷς ἀποδέδοται τȣ̃ Λόγȣ μέρη;

μ. Ναὶ, τῷ τε Ἄρθρῳ, Προθέσει τε, καὶ Συνδέσμῳ.

δ. Διατὶ καὶ τούτοις ταῦτα παρέπεται;

μ. Ὅτι πασῶν τῶν λέξεων, ἀνείδεός ἐστι καὶ ἀσχημάτιστος οὐδεμία. πᾶσα γὰρ λέξις, ἢ πρωτότυπός ἐστιν, ἢ παράγωγος· καὶ ἢ ἁπλῆ, ἢ σύνθετος, ἢ παρασύνθετος. τὸ δὲ πρωτότυπον, καὶ παράγωγον, μέρη εἰσὶ τȣ̃ Εἴδους· ὥσπερ καὶ τὸ ἁπλοῦν, καὶ σύνθετον, καὶ παρασύνθετον, τȣ̃ Σχήματός εἰσι μέρη.

δ. Οὐκοῦν πᾶν μέρος Λόγου λέξις ἐστίν;

μ. Οὕτω.

# ΠΕΡΙ' Α'ΝΤΩΝΥΜΙ'ΑΣ.

δ. ΕΚ, ποίου μέρους λόγȣ ἐςίν;
μ. Α'ντωνυμίας.
δ. Τί ἐςιν Α'ντωνυμία;
μ. Α'ντωνυμία ἐςὶ μέρος Λόγȣ κλιτὸν, ἀντὶ Ο'νόματος παραλαμβανόμενον.
δ. Πόσα τὰ εἴδη τῶν Α'ντωνυμιῶν;
μ. Πέντε, πρωτότυπον, κτητικὸν, δεικτικὸν, αἰαφορικὸν, καὶ σύνθετον.
δ. Ε'κ ποίων ἐςίν;
μ. Ε'κ τῶν πρωτοτύπων.
δ. Πόσα παρέπονται τῇ Α'ντωνυμίᾳ;
μ. Ε'ξ, γένος, εἶδος, σχῆμα, ἀριθμὸς, πτῶσις, καὶ πρόσωπον.
δ. Ποίου γένους;
μ. Οὐδενός.
δ. Διατί;
μ. Ο'τι αἱ πρωτότυποι ἀντωνυμίαι γένεσιν ȣ̓ διακρίνονται.
δ. Ποίου εἴδους;
μ. Πρωτοτύπου.
δ. Ποίου σχήματος;
μ. Α'πλοῦ.
δ. Ποίου ἀριθμοῦ;
μ. Ε'νικοῦ.
δ. Ποίας πτώσεως;

μ. Ὀκτὼ, ἡ ἐν, ἡ εἰς, ἡ ἐξ, ἡ σὺν, ἡ πρὸ, ἡ ἀνὰ, ἡ ἀντὶ, καὶ ἡ ἀπό.

δ. Πόσαι αἱ δυσί;

μ. Τρεῖς, ἡ κατὰ, ἡ διὰ, καὶ ἡ ὑπέρ.

δ. Πόσαι αἱ τρισίν;

μ. Ἑπτὰ, ἡ πρὸς, ἡ μετὰ, ἡ παρὰ, ἡ ἐπὶ, ἡ περὶ, ἡ ἀμφὶ, καὶ ἡ ἀπό.

δ. Ποσαχῶς αἱ μιᾷ συντασσόμεναι πτώσει συντάσσονται;

μ. Τριχῶς; ἢ γενικῇ μόνῃ, ἢ δοτικῇ μόνῃ, ἢ αἰτιατικῇ μόνῃ.

δ. Πόσαι μετὰ γενικῆς μόνης συντάσσονται.

μ. Τέσσαρες, ἡ ἐξ, ἡ πρὸ, ἡ ἀντὶ, καὶ ἡ ἀπό.

δ. Πόσαι μετὰ δοτικῆς μόνης;

μ. Δύο, ἡ ἐν, καὶ ἡ σύν.

δ. Πόσαι μετὰ αἰτιατικῆς μόνης;

μ. Δύο, ἡ εἰς, καὶ ἡ ἀνά.

δ. Αἱ συντασσόμεναι δυσὶ πτώσεσι, μετὰ τίνων συντάσσονται πτώσεων;

μ. Μετὰ γενικῆς, καὶ αἰτιατικῆς.

δ. Αἱ δὲ συντασσόμεναι τρισὶ, μετὰ τίνων;

μ. Μετὰ γενικῆς, δοτικῆς, καὶ αἰτιατικῆς.

δ. Ἡ Εἰς πόσα σημαινόμενα ἔχει;

μ. Ἓν, κίνησιν.

Περὶ

τῆς εἰς, ἐξ· τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι· τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι, πλὴν τῆς, ἐν, εἰς, ἐξ, σὺν, ἀνὰ, διὰ, ἀμφί. τὸ ψιλοῦσθαι, πλὴν τῆς ὑπὸ, καὶ ὑπέρ· τὸ γὰρ υ προηγούμενον τῆς λέξεως, δασύνεται.

δ. Ὀξύνεται;

μ. Οὐχί.

δ. Διατί;

μ. Ὅτι αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι μονοσύλλαβοι Προθέσεις, τόνον οὐκ ἐπιδέχονται.

δ. Βραχυκαταληκτεῖ;

μ. Οὔ.

δ. Διατί;

μ. Ὅτι ἐστὶν ἐκ τῶν ἐξῃρημένων.

δ. Μέχρι δισυλλαβίας αὔξεται;

μ. Οὔ.

δ. Διατί;

μ. Ὅτι ἐστὶν ἐκ τῶν μονοσυλλάβων.

δ. Διὰ ψιλοῦ συμφώνου ἐκφέρεται;

μ. Οὐχί.

δ. Διατί;

μ. Ὅτι ἐστὶν ἐκ τῶν ἐξῃρημένων.

δ. Ψιλοῦται;

μ. Ναὶ ψιλοῦται.

δ. Ποσαχῶς συντάσσονται αἱ Προθέσεις;

μ. Τριχῶς, ἢ μιᾷ, ἢ δυσὶν, ἢ τρισὶ πτώσεσι.

δ. Πόσαι εἰσὶν αἱ μιᾷ συντασσόμεναι πτώσει;

μ. Ἐν συντάξει.

δ. Τί διαφέρει ἡ ἐν συνθέσει, τῆς ἐν συντάξει;

μ. Ὅτι ἡ μὲν ἐν συντάξει φυλάττει τὸν τόνον, ἡ δὲ ἐν συνθέσει ἀποβάλλει τὸν τόνον.

δ. Φυλάττει τὸν τόνον;

μ. Οὔ.

δ. Διατί;

μ. Ὅτι ἡ Εἰς Πρόθεσις τόνον οὐκ ἐπιδέχεται.

δ. Πόθεν οὖν γινώσκεται, ὅτι ἐστὶν ἐν συντάξει;

μ. Ἐκ τῆς ἐννοίας.

δ. Πόσαι εἰσὶν αἱ Προθέσεις;

μ. Ὀκτωκαίδεκα.

δ. Εἰς πόσα διαιροῦνται;

μ. Εἰς δύο, εἰς μονοσυλλάβους, καὶ εἰς δισυλλάβους.

δ. Πόσαι μονοσύλλαβοι;

μ. Ἕξ· ἐν, εἰς, ἐξ, σὺν, πρὸς, πρό.

δ. Πόσαι δισύλλαβοι;

μ. Δυοκαίδεκα. ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ.

δ. Ἐκ ποίων ἐστίν;

μ. Ἐκ τῶν μονοσυλλάβων.

δ. Τί διαφέρουσιν αἱ μονοσύλλαβοι τῶν δισυλλάβων;

μ. Ὅτι αἱ μὲν μονοσύλλαβοι εἰς σύμφωνον λήγουσι, πλὴν τῆς πρὸ· αἱ δὲ δισύλλαβοι εἰς φωνῆεν, πλὴν τῆς ὑπέρ.

δ. Πόσα παρέπονται ταῖς Προθέσεσι;

μ. Πέντε, τὸ ὀξύνεσθαι, τὸ βραχυκαταληκτεῖν, πλὴν τῆς

δ. Ποίας διαθέσεως;
μ. Οὐδετέρας.
δ. Ποίου θέματος;
μ. Περισπωμένου.
δ. Ποίας συζυγίας;
μ. Πρώτης.
δ. Ποίας κλίσεως;
μ. Πέμπτης τῶν περιττοσυλλάβων.
δ. Τί ἐστι Πέμπτη κλίσις τῶν περιττοσυλλάβων;
μ. Πέμπτη κλίσις ἐστὶ πάντων τῶν περιττοσυλλάβων ὀνομάτων, ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ οὐδετέρων, κοινῶν, καὶ ἐπικοίνων, διαφόρους καταλήξεις ἐχόντων· ὧν ἡ γενικὴ εἰς ος, ἡ δοτικὴ εἰς ι, ἡ αἰτιατικὴ εἰς α.
δ. Πῶς κλίνεται;
μ. Ὁ ἡμαρτηκώς, τοῦ ἡμαρτηκότος, τῷ ἡμαρτηκότι, τὸν ἡμαρτηκότα.

## ΠΕΡΙ' ΠΡΟΘΕ'ΣΕΩΣ.

δ. ΕΙ'ς, ποίου μέρους Λόγου ἐστί;
μ. Προθέσεως.
δ. Τί ἐστι Πρόθεσις;
μ. Πρόθεσις ἐστὶ μέρος Λόγου ἄκλιτον, προτιθέμενον πάντων τῶν τοῦ Λόγου μερῶν, καὶ ἐν τῇ συνθέσει, καὶ ἐν τῇ συντάξει.
δ. Ἐν συνθέσει ἐστὶν ἐνταῦθα ἡ Εἰς πρόθεσις, ἢ ἐν συντάξει;

 μ. Ἐν

# ΠΕΡΙ ΜΕΤΟΧΗΣ.

δ. Ἡμαρτηκότα, ποίου μέρους Λόγου ἐστί;
μ. Μετοχῆς.
δ. Τί ἐστι Μετοχή;
μ. Μετοχή ἐστι μέρος λόγου κλιτὸν, τῆς ἰδιότητος τοῦ Ὀνόματος, καὶ τοῦ Ῥήματος μετέχον.
δ. Πόσα παρέπονται τῇ Μετοχῇ;
μ. Ὀκτὼ, γένος, εἶδος, σχῆμα, ἀριθμὸς, πτῶσις, χρόνος, διάθεσις, καὶ συζυγία.
δ. Ποίου γένους;
μ. Ἀρσενικοῦ.
δ. Ποίου εἴδους;
μ. Παραγώγου.
δ. Πόθεν παράγεται;
μ. Ἀπὸ τοῦ ἡμάρτηκα, ἡμαρτηκώς.
δ. Ποίου σχήματος;
μ. Συνθέτου.
δ. Πόθεν συντίθεται.
μ. Ἐκ τοῦ ἅμα Ἐπιῤῥήματος, καὶ τοῦ ἀρτέω, ἀρτῶ, τὸ ἀποχωρίζομαι, Ῥήματος.
δ. Ποίου ἀριθμοῦ;
μ. Ἑνικοῦ.
δ. Ποίας πτώσεως;
μ. Αἰτιατικῆς.
δ. Ποίου χρόνου;
μ. Παρακειμένου.

δ. Ποίας

δ. Πόσα παρέπονται τῷ Ἐπιῤῥήματι;
μ. Δύο, εἶδος, ϗ σχῆμα.
δ. Ποίου εἴδους;
μ. Παραγώγου.
δ. Πόθεν παράγεται;
μ. Ἐκ τοῦ πολλὰ ὀνόματος.
δ. Ποίου σχήματος;
μ. Ἁπλοῦ.
δ. Ποίου τρόπου;
μ. Ποσότητος.
δ. Τὰ δὲ ποσότητος ποῖα;
μ. Ἅπαξ, δὶς, τρὶς, τετράκις, πολλάκις, ὀλιγάκις.
δ. Πόσοι τρόποι τοῦ Ἐπιῤῥήματος;
μ. Τεσσαρακονταδύο. χρόνου, τόπου, ποιότητος, ποσότητος, ἀθροίσεως, παρακελεύσεως, διαιρέσεως, ἐξαιρέσεως, τάξεως, ὁμοιώσεως, ἀποστάσεως, ἐξηγηματικὰ, ποσότητος ἀορίστου, καὶ ποιότητος, ὑφαιρέσεως, ἐκλογῆς, ἀποτρεπτικὰ, ἐθνικὰ, βιασμοῦ, διστάσεως, ὀργανικὰ, ἀποθετικὰ, καὶ προκαταστατικὰ, ἐπιτάσεως, ἀνέσεως, βεβαιώσεως, καταφάσεως, κατομώσεως, ἀπομώσεως, ἀρνήσεως, ἀπαγορεύσεως, εἰκασμοῦ, ἐρωτήσεως, δείξεως, κλήσεως, διασαφήσεως, θέσεως, σχετλιασμοῦ, θαυμασμοῦ, ἐκπλήξεως, θειασμοῦ, ἀπειλῆς, οἷον οὐαί· καὶ εὐχῆς, οἷον εἴθε, αἴθε, ὄφελον.

Περὶ

μ. Ὅτι τόνον μόνον ἐπιδέχεται.

δ. Πόσα παρέπονται τῷ Ἄρθρῳ;

μ. Τρία, γένος, ἀριθμὸς, πτῶσις.

δ. Ποίου γένους;

μ. Ἀρσενικοῦ.

δ. Ποίου ἀριθμοῦ;

μ. Ἑνικοῦ.

δ. Ποίας πτώσεως;

μ. Αἰτιατικῆς.

δ. Ποίας κλίσεως;

μ. Τῆς Τετάρτης τῶν ἰσοσυλλάβων.

δ. Πῶς κλίνεται;

μ. Ἡ ὀνομαστικὴ, ὁ. ἡ γενικὴ, τοῦ. ἡ δοτικὴ, τῷ: ἡ αἰτιατικὴ, τὸν. καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ' ΕΠΙΡΡΗΜΑΤΟΣ.

δ. Πολλάκις, ποίου μέρους Λόγου ἐστίν;

μ. Ἐπιρρήματος.

δ. Τί ἐστιν Ἐπίρρημα;

μ. Ἐπίρρημα ἐστὶ μέρος λόγου ἄκλιτον, κατὰ τοῦ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον.

δ. Τί σημαίνει τὸ, κατὰ τοῦ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον;

μ. Τὸ μὲν κατὰ τοῦ ῥήματος λεγόμενον, τὸ πρὸ τοῦ ῥήματος λέγεσθαι· οἷον οὕτω βοήσωμεν. τὸ δὲ ἐπιλεγόμενον, τὸ μετὰ τὸ ῥῆμα λέγεσθαι· οἷον βοήσωμεν οὕτω.

δ. Πό-

δ. Ποίου τρόπου;

μ. Παραπληρωματικȣ̃.

δ. Οἱ δὲ Παραπληρωματικοὶ ποῖοι;

μ. Δὴ, ποῦ, τοὶ, δῆτα, πὲρ, πώ, μὴν, αὖ, οὖν, γέ.

δ. Πόσοι τρόποι τȣ̃ Συνδέσμȣ;

μ. Δώδεκα· συμπλεκτικοὶ, διαζευκτικοὶ, συναπτικοὶ, παρασυναπτικοὶ, αἰτιολογικοὶ, ἀπορηματικοὶ, συλλογιστικοὶ, παραπληρωματικοὶ, δυνητικοὶ, διακειτικοὶ, εἴτ' οὖν ἐπιλεκτικοὶ· ἐλαττωτικοὶ, καὶ ἐναντιωματικοί.

## ΠΕΡΙ ἌΡΘΡΟΥ.

δ. Τὸ ὂν, ποῖȣ μέρȣς Λόγȣ ἐστίν;

μ. Ἄρθρȣ.

δ. Τί ἐστιν Ἄρθρον;

μ. Ἄρθρον ἐστὶ μέρος Λόγȣ κλιτὸν, προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων, καὶ ὑποτασσόμενον.

δ. Εἰς πόσα διαιρεῖται τὸ Ἄρθρον;

μ. Εἰς δύο, εἰς προτακτικὰ, καὶ ὑποτακτικά.

δ. Τὶ διαφέρει τὸ προτακτικὸν τȣ̃ ὑποτακτικȣ̃;

μ. Ὅτι τὸ μὲν προτακτικὸν, ἢ πνεῦμα, ἢ τόνον ἐπιδέχεται· τὸ δὲ ὑποτακτικὸν, ἀμφότερα, ἤγουν καὶ πνεῦμα, καὶ τόνον.

δ. Ἐκ ποίων ἐστὶν, ἐκ τῶν προτακτικῶν, ἢ ἐκ τῶν ὑποτακτικῶν;

μ. Ἐκ τῶν προτακτικῶν.

δ. Διατὶ ἐκ τῶν προτακτικῶν;

μ. Ὅτι

δ. Τί ἐστι Δευτέρα;

μ. Δευτέρα ἐστὶν, ἡ ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ Ἐνεστῶτος τὸ η, ἐν δὲ τῇ τοῦ παθητικοῦ τὸ α ἔχουσα, οἷον ἵστημι, ἵσταμαι.

δ. Πόθεν γίνεται ἡ Τρίτη;

μ. Ἀπὸ τῆς τρίτης τῶν Περισπωμένων, οἷον διδόω, ῶ, δίδωμι.

δ. Τί ἐστι Τρίτη;

μ. Τρίτη ἐστὶν, ἡ ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ Ἐνεστῶτος τὸ ω, ἐν δὲ τῇ τοῦ παθητικοῦ τὸ ο ἔχουσα, οἷον δίδωμι, δίδομαι.

δ. Πόθεν διακρίνονται ἀλλήλων αἱ εἰς μι;

μ. Ἀπὸ τῶν φωνηέντων τῶν παραληγουσῶν τῶν ὁριστικῶν Ἐνεστώτων αὐτῶν.

δ. Πῶς κλίνεται;

μ. Ὁ Ἐνεστὼς, σώζω. ὁ Μέλλων, σώσω. ὁ Παρακείμενος σέσωκα. ὁ Ἀόριστος πρῶτος, ἔσωσα. καὶ ὁ προστακτικὸς πρῶτος, σῶσον.

## ΠΕΡΙ΄ ΣΥΝΔΕ΄ΣΜΟΥ.

δ. ΔΗ᾿, ποίου μέρους Λόγου ἐστί;

μ. Συνδέσμου.

δ. Τί ἐστι Σύνδεσμος;

μ. Σύνδεσμός ἐστι μέρος Λόγου ἄκλιτον, συνδέον τὰ ἄλλα μέρη τοῦ λόγου εἰς διάνοιαν μετὰ τάξεως.

δ. Πόσα Παρέπονται τῷ Συνδέσμῳ;

μ. Ἓν, σχῆμα.

δ. Ποίου σχήματος;

μ. Ἁπλοῦ.

μ. Τρίτη ἐστὶν, ἡ ἐν τῷ ἐνεστῶτι διὰ τοῦ ου, προφερομένη· καὶ ἐν τῷ μέλλοντι, ποτὲ μὲν τῷ ο, ποτὲ δὲ τῷ ω, συμπαραλήγουσα· οἷον χρυσόω. ῶ. χρυσώσω. ἀρόω, ῶ. ἀρόσω.

δ. Πόθεν γίνονται αἱ Περισπώμεναι Συζυγίαι;

μ. Ἀπὸ τῆς ἕκτης τῶν Βαρυτόνων· οἷον ἀπὸ τοῦ ποιέω, γίνεται ποιῶ. ἀπὸ τοῦ βοάω, βοῶ. ἀπὸ τοῦ χρυσόω, χρυσῶ.

δ. Πόθεν γίνονται αἱ εἰς μι;

μ. Ἀπὸ τῶν Περισπωμένων πλὴν τῆς Τετάρτης.

δ. Πόθεν οὖν γίνεται ἡ Τετάρτη Συζυγία τῶν εἰς μι;

μ. Ἀπὸ τῆς ἕκτης τῶν Βαρυτόνων, οἷον ζευγνύω, ζεύγνυμι.

δ. Τί ἐστι Τετάρτη;

μ. Τετάρτη ἐστὶν, ἡ ἐν τῇ παραληγούσῃ τοῦ Ἐνεστῶτος ἐνεργητικοῦ τε καὶ παθητικοῦ τὸ υ ἔχουσα· οἷον ζεύγνυμι, ζεύγνυμαι.

δ. Πόθεν γίνεται ἡ Πρώτη τῶν εἰς μι;

μ. Ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. οἷον τιθέω, ῶ. τίθημι.

δ. Τί ἐστι Πρώτη Συζυγία τῶν εἰς μι;

μ. Πρώτη συζυγία τῶν εἰς μι, ἐστὶν, ἡ ἐν τῇ παραληγούσῃ τοῦ ἐνεργητικοῦ ἐνεστῶτος τὸ, η, ἐν δὲ τῇ τοῦ παθητικοῦ, τὸ ε ἔχουσα· οἷον τίθημι. τίθεμαι.

δ. Πόθεν γίνεται ἡ Δευτέρα;

μ. Ἀπὸ τῆς δευτέρας τῶν περισπωμένων· οἷον ἱστάω, ῶ, ἵστημι.

καὶ Ὑπερσυντελίκου Μέλλοντος, καὶ Ἀορίστου.

δ. Ποῖοι τούτων εἰσὶ προτακτικοί;

μ. Ὁ Ἐνεστώς, ὁ Παρακείμενος, καὶ ὁ Μέλλων.

δ. Ποῖοι δὲ ὑποτακτικοί;

μ. Ὁ Παρατατικὸς, ὁ Ὑπερσυντελικὸς, καὶ ὁ Ἀόριστος.

δ. Ποῖος τῶν ὑποτακτικῶν φυλάττει τὸ τελικὸν τοῦ ἐνεστῶτος;

μ. Ὁ Παρατατικὸς· οἷον τύπτω, ἔτυπτον.

δ. Ποῖος δὲ τοῦ Παρακειμένου;

μ. Ὁ Ὑπερσυντελικὸς· οἷον τέτυφα, ἐτετύφειν.

δ. Ποῖος δὲ τοῦ Μέλλοντος;

μ. Ὁ Ἀόριστος· οἷον τύψω, ἔτυψα. Πλὴν τῶν ἔξω τοῦ κανόνος Ἀορίστων, οἷον ἔδωκα, ἔθηκα, ἧκα, εἶπα, ἤνεγκα.

δ. Πόθεν διακρίνονται ἀλλήλων αἱ Περισπώμεναι;

μ. Ἐκ τῶν κράσεων.

δ. Τίς ἐστι Πρώτη συζυγία τῶν Περισπωμένων;

μ. Πρώτη συζυγία τῶν περισπωμένων ἐστὶν, ἡ ἐν τῷ ἐνεστῶτι διὰ τοῦ εω προφερομένη· καὶ ἐν τῷ Μέλλοντι, ποτὲ μὲν τῷ, ε, ποτὲ δὲ τῷ, η παραλήγουσα· οἷον ποιέω, ῶ. ποιήσω. ἀρκέω, ῶ. ἀρκέσω.

δ. Τίς ἐστι Δευτέρα;

μ. Δευτέρα ἐστὶν, ἡ ἐν τῷ Ἐνεστῶτι διὰ τοῦ αω προφερομένη· καὶ ἐν τῷ μέλλοντι, ποτὲ μὲν τῷ, α, ποτὲ δὲ τῷ, η παραλήγουσα· οἷον βοάω, ῶ. βοήσω, δράω, ῶ. δράσω.

δ. Τίς ἐστι Τρίτη;

μ. Τρί-

δ. Ποῖός ἐστιν ὁ καθαρὸς τύπος;
μ. Ο πρὸ αὐτοῦ φωνῆεν ἔχων, οἷον ἀκούω.
δ. Ποῖος δὲ ὁ μικτός;
μ. Ο πρὸ αὐτοῦ σύμφωνον ἔχων, οἷον βλέπω.
δ. Πόσα τελικὰ τῶν Μελλόντων;
μ. Τρία, ψ, ξ, σ.
δ. Πόσα δὲ τῶν Παρακειμένων;
μ. Τρία, φ, χ, κ.
δ. Πόσαι Συζυγίαι ἔχουσι τὸ ψ;
μ. Μία, ἡ Πρώτη τῶν Βαρυτόνων.
δ. Πόσαι δὲ τὸ ξ;
μ. Δύο, ἡ Δευτέρα, καὶ ἡ Τετάρτη τῶν Βαρυτόνων.
δ. Πόσαι δὲ τὸ σ;
μ. Εννέα, ἡ Τρίτη, ἡ Τετάρτη, ἡ Εκτη τ Βαρυτόνων, αἱ τρεῖς τῶν Περισπωμένων, καὶ αἱ τρεῖς τῶν εἰς μι. ἡ γὰρ Τετάρτη τῶν εἰς μι, Μέλλοντας ἐκ ἔχει.
δ. Ποῖον δὲ ἡ Πέμπτη τελικὸν ἐν τῷ Μέλλοντι ἔχει;
μ. Τὸ τελικὸν τῦ Ενεστῶτος, οἷον κρίνω, κρινῶ.
δ. Ποία Συζυγία ἔχει τελικὸν ἐν τῷ Παρακειμένῳ τὸ φ;
μ. Η ἐν τῷ Μέλλοντι ἔχουσα τὸ ψ.
δ. Ποῖαι δὲ τὸ χ;
μ. Αἱ ἔχουσαι τὸ ξ.
δ. Ποῖαι δὲ τὸ κ;
μ. Αἱ ἔχουσαι τὸ σ, καὶ ἡ Πέμπτη.
δ. Πόσαι συζυγίαι τῶν χρόνων.
μ. Τρεῖς, Ενεστῶτος, καὶ Παρατατικοῦ· Παρακειμένου,

καὶ

δ. Ποῖα δὲ τῆς Τρίτης;

μ. Τὸ δ, θ, τ.

δ. Ποῖα δὲ τῆς Τετάρτης;

μ. Τὸ ζ, δύο σσ κοινῶς, καὶ δύο ττ, ἀττικῶς.

δ. Ποῖα δὲ τῆς Πέμπτης;

μ. Τὸ λ, μ, ν, ρ.

δ. Πῶς λέγονται τὰ τελικὰ τῆς Πέμπτης;

μ. Ἀμετάβολα.

δ. Διατὶ λέγονται Ἀμετάβολα;

μ. Ὅτι οὔτε ἐν τοῖς Μέλλουσι χρόνοις τῶν ῥημάτων, οὔτε ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων μεταβάλλονται. οἷον ψάλλω, ψαλῶ. νέμω, νεμῶ. κρίνω, κρινῶ. σπείρω, σπερῶ. νέστωρ, νέστορος. ἕλλω, ἕλλωος.

δ. Ὁποία ἐστὶ κατὰ χρόνον ἡ παραλήγουσα τῶν Μελλόντων τῆς Πέμπτης;

μ. Βραχεῖα.

δ. Πῶς αὕτη γίνεται βραχεῖα, τοῦ Ἐνεστῶτος μακροπαραληκτοῦντος;

μ. Εἰ μὲν ὁ Ἐνεστὼς δύο Ἀμετάβολα τελικὰ ἔχει, ἀποβάλλει τὸ ἓν ὁ Μέλλων, οἷον ψάλλω, ψαλῶ. Εἰ δὲ Διφθόγγῳ παραλήγει ὁ Ἐνεστὼς, ἀποβάλλει ὁ Μέλλων τῆς διφθόγγου τὸ ι, οἷον σπείρω, σπερῶ. αἴρω, ἀρῶ.

δ. Ποῖα δὲ τῆς Ἕκτης;

μ. Οὐδέν.

δ. Πόθεν οὖν δακρίνεται ἡ Ἕκτη;

μ. Ἐκ τοῦ ω καθαροῦ, τύπου ὄντος.

δ. Ποῖος

μ. Ας, οἷον αἰνείας. ης, οἷον χρύσης καὶ ἄλλοι τέτων τε, καὶ ἄλλων.

δ. Διατὶ τέτων τε καὶ ἄλλων ἔφης;

μ. Ὅτι καὶ αἱ πλάγιαι τέτων πτώσεις ἔχεσι τύπους. Ἄλλων δὲ, ὅτι εἰσὶ καὶ ἄλλα ὀνόματα διαφόρων κλίσεων, διαφόρους ἔχοντα τύπους.

δ. Ποῖοι δὲ τῶν Ἀντωνυμιῶν, καὶ Ἄρθρων;

μ. Τῶν μὲν ἀρσενικῶν καὶ οὐδετέρων, οἱ τύποι τῶν ὀνομάτων τῆς τετάρτης· τῶν δὲ θηλυκῶν, οἱ τύποι τῶν ὀνομάτων τῆς δευτέρας κλίσεως τῶν ἰσοσυλλάβων πλὴν τῆς πρωτοτύπου ἀντωνυμίας. αὕτη γὰρ διὰ τὸ μὴ ἔχειν γένος διωρισμένον, εὐμοίρησεν οἰκείου τύπου.

δ. Διατὶ ἐπὶ Ῥημάτων, μετοχῶν, καὶ ὀνομάτων, Ἄρθρων τε, καὶ ἀντωνυμιῶν εἴρηκας μόνον;

μ. Ὅτι ἡ Πρόθεσις, τὸ Ἐπίρρημα, καὶ ὁ Συνδεσμος, οὐκ ἂν ῥηθεῖεν κυρίως τύπους ἔχειν, διὰ τὸ μὴ κλίνεσθαι ὁμοιοτρόπως. εἰ καί τινα ἐπιρρήματα δοκοῦσιν ὁμοιοτέλευτα, ὡς τὰ Ἐθνικὰ, καὶ τὰ Θέσεως, ἀλλ᾽ οὐ διὰ τοῦτο εἴποι τίς ἂν, ὥς γε μοι δοκεῖ, τὴν αὐτῶν ὁμοιότητα κυρίως τύπον, ἀλλὰ καταχρηστικῶς.

δ. Ποῖα εἰσὶ τὰ τελικὰ τῆς Πρώτης τῶν Βαρυτόνων συζυγίας ἐν τῷ Ἐνεστῶτι;

μ. Τὸ β, π, φ, καὶ πτ.

δ. Ποῖα δὲ τῆς Δευτέρας;

μ. Τὸ γ, κ, χ, καὶ κτ.

ἱμάσσω, ἱνάσσω, πλάσσω, πάσσω, λεύσσω, ἐρέσσω. ταῦτα γὰρ τὸ σ ἔχουσιν ἐν τῷ Μέλλοντι, ἱμάσω, ἱνάσω, πλάσω, πάσω, λεύσω, ἐρέσω.

δ. Πόσαι Συζυγίαι;

μ. Δεκατρεῖς, ἓξ τῶν Βαρυτόνων, τρεῖς τῶν Περισπωμένων, καὶ τέσσαρες τῶν εἰς μι.

δ. Πόθεν διακρίνονται ἀλλήλων αἱ βαρύτονοι συζυγίαι;

μ. Ἐκ τῶν τελικῶν.

δ. Τί ἐστι τελικόν;

μ. Τελικόν ἐστι τὸ πρὸ τοῦ τύπου σύμφωνον.

δ. Τί ἐστι τύπος.

μ. Τύπος ἐστὶ φωνὴ, καθ' ἣν λέξεις πολλαὶ ὁμοιοτρόπως προφέρονται, ἐπί τε ῥημάτων, μετοχῶν, καὶ ὀνομάτων, Ἄρθρων τε, καὶ Ἀντωνυμιῶν.

δ. Παραδειγμάτισον ταῦτα.

μ. Γράφω, τὸ μὲν ω, τύπος τὸ δὲ φ, τὸ πρὸ τοῦ τύπου (ὡς ἔφην) τελικόν· καὶ γράφομαι, τὸ μὲν ομαι, τύπος τὸ δὲ φ, τελικόν.

δ. Εἰσὶ καὶ ἄλλοι τύποι παρὰ τούτους τῶν ῥημάτων;

μ. Πλεῖστοι, ἐν πάσῃ ἐγκλίσει, καὶ παντὶ χρόνῳ, ἀριθμῷ τε, καὶ προσώπῳ· οὓς ῥάδιον τῷ βουλομένῳ ἀριθμῆσαι παρά τε Λασκάρει τῷ Βυζαντίῳ, καὶ ἄλλοις.

δ. Ποῖοι δὲ τῶν Μετοχῶν;

μ. Ων, οἷον ὁ τύπτων. ομενος, οἷον ὁ τυπτόμενος. καὶ ἄλλοι.

δ. Ποῖοι δὲ τῶν Ὀνομάτων;

δ. Πόσα Πρόσωπα;

μ. Τρία· Πρῶτον, οἷον τύπτω. Δεύτερον, οἷον τύπτεις. Τρίτον, οἷον τύπτει.

δ. Ποίου χρόνου.

μ. Ἀορίστου πρώτου.

δ. Πόσοι χρόνοι;

μ. Ἕξ, Ἐνεστὼς, οἷον τύπτω. Παρατατικὸς, οἷον ἔτυπτον. Παρακείμενος, οἷον τέτυφα. Ὑπερσυντελικὸς, οἷον ἐτετύφειν. Ἀόριστος, οἷον ἔτυψα. Μέλλων, οἷον τύψω.

δ. Ποίου Θέματος;

μ. Βαρυτόνου.

δ. Πόσα Θέματα.

μ. Τρία, Βαρύτονον, οἷον τύπτω. Περισπώμενον, οἷον ποιῶ. εἰς μι, οἷον τίθημι.

δ. Ποίας Συζυγίας;

μ. Τετάρτης.

δ. Τί ἐστι Τετάρτη;

μ. Τετάρτη ἐστὶ τῶν εἰς ζ, καὶ δύο σς κοινῶς, καὶ δύο ττ ἀττικῶς, οἷον φράζω, ὀρύσσω, ὀρύττω. Καὶ τὰ μὲν εἰς ζω, ποτὲ μὲν τὸ ξ ἐν τῷ Μέλλοντι ἔχουσιν, οἷον κράζω, κράξω. ὧν ὁ Παρακείμενος τὸ χ ἔχει, οἷον κέκραχα, καὶ ὁ Μέσος κέκραγα. Ποτὲ δὲ τὸ σ, οἷον φράζω, φράσω. ὧν ὁ Παρακείμενος τὸ κ ἔχει, οἷον πέφρακα, καὶ ὁ Μέσος πέφραδα. Τὰ δὲ εἰς σσω, ἢ εἰς ττω, εἰς ξω τὸν Μέλλοντα ποιοῦσιν, οἷον ὀρύσσω, καὶ ὀρύττω, ὀρύξω. πλὴν τοῦ

 ἱμάσ-

Εὐκτικὴ, οἷον εἴθε τύπτοιμι. Ὑποτακτικὴ, οἷον ἐὰν τύπτω. Ἀπαρέμφατος, οἷον τύπτειν.

δ. Ποίας Διαθέσεως;

μ. Ἐνεργητικῆς.

δ. Πόσαι Διαθέσεις;

μ. Πέντε, ἐνεργητικὴ, οἷον τύπτω. Παθητικὴ, οἷον τύπτομαι. Οὐδετέρα, οἷον ὑγιαίνω. Κοινὴ, ἡ Μέση, οἷον βιάζομαι. Ἀποθετικὴ, οἷον μάχομαι.

δ. Ποίου εἴδους;

μ. Παραγώγου.

δ. Πόθεν παράγεται;

μ. Ἀπὸ τοῦ σώω, σώζω.

δ. Πόσα Εἴδη;

μ. Δύο, Πρωτότυπον, οἷον ἄρδω. Παράγωγον, οἷον ἀρδεύω.

δ. Ποίου σχήματος;

μ. Ἁπλοῦ.

δ. Πόσα σχήματα;

μ. Τρία, Ἁπλοῦν, οἷον φέρω. Σύνθετον, οἷον ἐπιφέρω. Παρασύνθετον, οἷον προσεπιφέρω.

δ. Ποίου Ἀριθμοῦ;

μ. Ἑνικοῦ.

δ. Πόσοι Ἀριθμοί;

μ. Τρεῖς, Ἑνικὸς, οἷον τύπτω. Δυϊκὸς, οἷον τύπτετον. Πληθυντικὸς, οἷον τύπτομεν.

δ. Ποίου προσώπου;

μ. Δευτέρου.

δ. Πό-

ὦ ἡράκλεες, ἡράκλεις. Καὶ ὁ ἡρακλῆς, τοῦ ἡρακλέους, οῦς. τῷ ἡρακλέϊ, ἡρακλεῖ. τὸν ἡρακλέα, ἡρακλῆ, καὶ ἡρακλῆν. ὦ ἡρακλῆ, καὶ ὦ ἡρακλῆς.

δ. Πῶς δὲ ὁ νόος νοῦς ἐν τῇ Τετάρτῃ, καὶ τῇ Πέμπτῃ τῶν ἁπλῶν κλίνεται κλίσεων;

μ. Ἐν μὲν τῇ τετάρτῃ, ὁ νόος, τοῦ νόου τῷ νόῳ. Καὶ ὁ νοῦς, τοῦ νοῦ, τῷ νῷ, παρὰ κανόνα. ἐν δὲ τῇ Πέμπτῃ, ὁ νοῦς, τοῦ νοός, τῷ νοΐ.

δ. Διατὶ ὁ νοῦς, τοῦ νοῦ, παρὰ κανόνα κλίνεται;

μ. Ὅτι ἡ Τετάρτη κλίσις τῶν ἰσοσυλλάβων λήγει εἰς ος· ὁ δὲ νοῦς, εἰς ους.

δ. Πῶς κλίνεται;

μ. Ἡ ὀνομαστικὴ, ὁ χρισός. ἡ γενικὴ, τοῦ χρισοῦ. ἡ δοτικὴ, τῷ χρισῷ. ἡ αἰτιατικὴ, τὸν χρισόν. καὶ τὰ ἑξῆς.

## ΠΕΡΙ ῬΗΜΑΤΟΣ.

δ. Ὅσον, ποίου μέρους λόγου ἐστί;

μ. Ῥήματος.

δ. Τί ἐστι Ῥῆμα;

μ. Ῥῆμά ἐστι μέρος λόγου κλιτὸν, μετὰ διαφόρων χρόνων, ἐνέργειαν, ἢ πάθος, ἢ οὐδετερόν τι σημαῖνον.

δ. Πόσα παρέπονται τῷ Ῥήματι;

μ. Ὀκτὼ, Ἔγκλισις, γένος, εἴτε Διάθεσις, εἶδος, σχῆμα. Ἀριθμὸς, Πρόσωπον, Χρόνος, καὶ Συζυγία.

δ. Ποίας Ἐγκλίσεως;

μ. Προσακτικῆς.

δ. Πόσαι Ἐγκλίσεις;

μ. Πέντε, Ὁριστικὴ, οἷον τύπτω. Προσακτικὴ, οἷον τύπτε.

δ. Πόθεν γίνονται αἱ Συνῃρημέναι;

μ. Ἀπὸ τῆς Πέμπτης τῶν Περιττοσυλλάβων.

δ. Εἰς πόσα διαιροῦνται αἱ Συνῃρημέναι;

μ. Εἰς δύο, εἰς πολυπαθεῖς, καὶ ὀλιγοπαθεῖς.

δ. Πόσαι εἰσὶν αἱ πολυπαθεῖς;

μ. Δύο, ἡ Πρώτη, οἷον ὁ δημοσθένης. καὶ ἡ Τετάρτη, οἷον ἡ λητώ.

δ. Πόσαι δὲ αἱ ὀλιγοπαθεῖς;

μ. Τρεῖς, ἡ Δευτέρα, οἷον ὁ ὄφις. ἡ Τρίτη, οἷον ὁ βασιλεύς. καὶ ἡ Πέμπτη, οἷον τὸ κρέας.

δ. Διατὶ ἡ Πρώτη, καὶ ἡ Τετάρτη λέγονται πολυπαθεῖς;

μ. Ὅτι αἱ πλείους αὐτῶν πτώσεις εἰσὶν ἐμπαθεῖς.

δ. Διατὶ ἡ Δευτέρα, ἡ Τρίτη, καὶ ἡ Πέμπτη λέγονται ὀλιγοπαθεῖς;

μ. Ὅτι αἱ πλείους αὐτῶν πτώσεις εἰσὶν ἀπαθεῖς.

δ. Ποῖα εἰσὶ τὰ ὁλοπαθῆ ὀνόματα;

μ. Ὁ ἡρακλέης, ἡρακλῆς. ὁ νόος, νοῦς καὶ ἄλλα τοιαῦτα.

δ. Διατὶ λέγονται ὁλοπαθῆ;

μ. Ὅτι αἱ πᾶσαι τούτων πτώσεις εἰσὶν ἐμπαθεῖς.

δ. Ἐν ποίᾳ οὖν ταῦτα κλίνονται κλίσει;

μ. Ὁ μὲν ἡρακλῆς, ἐν τῇ Πρώτῃ τῶν συνῃρημένων· ὁ δὲ νόος, νοῦς, ἐν τῇ Τετάρτῃ τε τῶν ἰσοσυλλάβων, καὶ τῇ Πέμπτῃ τῶν Περιττοσυλλάβων.

δ. Πῶς κλίνεται ὁ ἡρακλῆς ἐν τῇ πρώτῃ τῶν συνῃρημένων;

μ. Ὁ ἡρακλέης, ἡρακλῆς. τοῦ ἡρακλέεος, ἡρακλέους. τῷ ἡρακλέεϊ, ἡρακλέει. τὸν ἡρακλέεα, ἡρακλέα.

ὦ ἡρά-

φωνήεντος τῆς ὀνομαστικῆς.

δ. Πόσαι Περιττοσύλλαβοι;

μ. Μία, ἡ Πέμπτη.

δ. Πόσαι Συνῃρημέναι;

μ. Πέντε, Πρώτη, Δευτέρα, Τρίτη, Τετάρτη, καὶ πέμπτη.

δ. Τί ἐστι Πρώτη κλίσις τῶν Συνῃρημένων;

μ. Πρώτη κλίσις τῶν Συνῃρημένων ἐστὶν ἀρσενικῶν, καὶ θηλυκῶν, καὶ κοινῶν ὀνομάτων, ληγόντων εἰς ης, καὶ οὐδετέρων εἰς ες, καὶ εἰς ος. ὧν ἡ γενικὴ διὰ τοῦ εος οὖσα ἰωνικῶς, εἰς ους κοινῶς κιρνᾶται.

δ. Τί ἐστι Δευτέρα;

μ. Δευτέρα κλίσις τῶν Συνῃρημένων ἐστὶν ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων, ληγόντων εἰς ις, καὶ οὐδετέρων εἰς ι. ὧν ἡ γενικὴ διὰ τοῦ ιος κοινῶς, καὶ εος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται.

δ. Τί ἐστι Τρίτη;

μ. Τρίτη κλίσις τῶν Συνῃρημένων ἐστὶν ἀρσενικῶν ὀνομάτων, εἰς ευς ληγοντων. ὧν ἡ γενικὴ διὰ τοῦ εος κοινῶς, καὶ ιος ἰωνικῶς, καὶ εως ἀττικῶς γίνεται.

δ. Τί ἐστι Τετάρτη;

μ. Τετάρτη κλίσις τῶν Συνῃρημένων ἐστὶ θηλυκῶν ὀνομάτων, εἰς ω, καὶ εἰς ως ληγόντων. ὧν ἡ γενικὴ, διὰ τοῦ οος οὖσα, εἰς ους κατὰ κρᾶσιν γίνεται.

δ. Τί ἐστι Πέμπτη;

μ. Πέμπτη κλίσις τῶν Συνῃρημένων ἐστὶν οὐδετέρων ὀνομάτων, εἰς ας, καὶ εἰς ρας ληγόντων. ὧν ἡ γενικὴ διὰ τοῦ ατος κοινῶς, καὶ αος ἰωνικῶς, καὶ ως ἀττικῶς γίνεται.

τοῦ φωνήεντος τῆς Ὀνομαστικῆς.

δ. Πόσαι εἰσὶν αἱ Κλίσεις;

μ. Δέκα.

δ. Εἰς πόσα διαιροῦνται αἱ δέκα Κλίσεις;

μ. Εἰς δύο, εἰς Ἁπλᾶς, καὶ Συνῃρημένας.

δ. Ποσαι Ἁπλαῖ;

μ. Πέντε.

δ. Εἰς πόσα διαιροῦνται αἱ Ἁπλαῖ;

μ. Εἰς δύο, εἰς Ἰσοσυλλάβους, καὶ Περιττοσυλλάβους.

δ. Πόσαι Ἰσοσύλλαβοι;

μ. Τέσαρες, Πρώτη, Δευτέρα, Τρίτη, καὶ Τετάρτη.

δ. Τί ἐστι Πρώτη Κλίσις τῶν Ἰσοσυλλάβων;

μ. Πρώτη κλίσις τῶν Ἰσοσυλλάβων ἐστὶν, ἀρσενικῶν, καὶ κοινῶν ὀνομάτων, εἰς ας, καὶ εἰς ης, ληγόντων. ὧν ἡ Γενικὴ εἰς ου λήγει. ἡ Δοτικὴ εἰς α, ἢ εἰς η, κατὰ τὸ φωνῆεν τῆς Ὀνομαστικῆς. Ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς Ὀνομαστικῆς.

δ. Τί ἐστι Δευτέρα;

μ. Δευτέρα κλίσις τῶν Ἰσοσυλλάβων ἐστὶ θηλυκῶν Ὀνομάτων, εἰς α, καὶ εἰς η ληγόντων. ὧν ἡ Γενικὴ εἰς ης. ἡ Δοτικὴ εἰς ῃ. ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ φωνήεντος τῆς Ὀνομαστικῆς.

δ. Τί ἐστι Τρίτη;

μ. Τρίτη κλίσις τῶν Ἰσοσυλλάβων ἐστὶν ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων Ὀνομάτων ἀττικῶν, ληγόντων εἰς ως, καὶ οὐδετέρων εἰς ων. ὧν ἡ Γενικὴ καὶ Δοτικὴ, εἰς ω. ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ

φω-

μ. Ἑνικοῦ.
δ. Πόσοι Ἀριθμοί;
μ. Τρεῖς, Ἑνικὸς, οἷον ὁ ἀγαθός. Δυϊκὸς, οἷον τὼ ἀγαθώ. Πληθυντικὸς, οἷον οἱ ἀγαθοί.
δ. Ποίας Πτώσεως;
μ. Κλητικῆς.
δ. Πόσαι Πτώσεις;
μ. Πέντε, Ὀνομαστικὴ, Γενικὴ, Δοτικὴ, Αἰτιατικὴ, καὶ Κλητική.
δ Εἰς πόσα διαιροῦνται αἱ Πτώσεις;
μ. Εἰς δύο, εἰς Ὀρθὰς, καὶ εἰς Πλαγίας.
δ. Πόσαι Ὀρθαί;
μ. Δύο, Ὀνομαστικὴ, καὶ Κλητική.
δ. Διατὶ λέγονται Ὀρθαί;
μ. Ὀρθῶς γὰρ ἱστάμεναι ὀρθὴν τὴν οὐσίαν σημαίνουσι.
δ. Πόσαι Πλάγιαι;
μ. Τρεῖς, Γενικὴ, Δοτικὴ, καὶ Αἰτιατική.
δ. Διατὶ λέγονται Πλάγιαι;
μ. Πλαγίως γὰρ ἱστάμεναι, πλαγίαν τὴν οὐσίαν σημαίνουσι.
δ. Ποίας Κλίσεως;
μ. Τετάρτης τῶν Ἰσοσυλλάβων.
δ. Τί ἐστι Τετάρτη κλίσις τῶν Ἰσοσυλλάβων;
μ. Τετάρτη κλίσις τῶν Ἰσοσυλλάβων ἐστὶν ἀρσενικῶν, καὶ θηλυκῶν, κοινῶν, καὶ ἐπικοίνων ὀνομάτων, λη'γόντων εἰς ος, καὶ οὐδετέρων εἰς ον. ὧν ἡ Γενικὴ εἰς ου λήγει. ἡ Δοτικὴ εἰς ῳ. ἡ Αἰτιατικὴ εἰς ν, μετὰ τοῦ

δ. Πόσα Εἴδη τῆς Σημασίας;

μ. Δύο, Οὐσιαςικὸν, καὶ Ἐπίθετον.

δ. Πόσα εἴδη τοῦ Ἐπιθέτου;

μ. Δυοκαίδεκα πρακτικὰ, πρόςτι, τόπου, χρόνου, ἐνεργητικὰ, Παθητικὰ, μετουσιαςικὰ, ἐπιμεριζόμενα, ἐρωτηματικὰ, ἀόριςα, ποσότητος, καὶ ποιότητος.

δ. Ποίου εἴδους τῶν Ἐπιθέτων;

μ. Παθητικοῦ.

δ. Πόσα εἴδη τοῦ Οὐσιαςικοῦ;

μ. Δύο, Κύριον, καὶ Προσηγορικόν.

δ. Πόσα εἴδη τοῦ Προσηγορικοῦ;

μ. Πεντεκαίδεκα γενικὰ, εἰδικὰ, πρόςτι, ὡς πρόςτι, ἀπολελυμένα, περιληπτικὰ, περιεκτικὰ, ὡς περιεκτικὰ, ἐθνικὰ, πεποιημένα, ὁμώνυμα, συνώνυμα, φερώνυμα, ἐπώνυμα, καὶ διώνυμα.

δ. Ποίου Σχήματος;

μ. Ἁπλοῦ.

δ. Πόσα Σχήματα;

μ. Τρία, Ἁπλοῦν, οἷον ἵππος. Σύνθετον, οἷον φίλιππος. Παρασύνθετον, οἷον φιλιππογενής.

δ. Διατὶ οὐ φιλιππίδης, ἀλλὰ φιλιππογενὴς εἴρηκας;

μ. Ὅτι τὸ, Φιλιππίδης, οὐκ ἔςι παρασύνθετον, ἀλλὰ παράγωγον Πατρωνυμικόν. τὰ δὲ παράγωγα οἷα καὶ τὰ ἐξ ὧν παράγονται, εἰσὶ τῷ σχήματι. Διὸ καὶ ἀνωτέρω οὐ Μεγαλόψυχος, ἅτε δὴ σύνθετον, ἀλλὰ Μείζων ἔφην.

δ. Ποίου Ἀριθμοῦ;

μ. Ἑνι-

μ. Ἀρσενικοῦ.

δ. Πόσα Γένη;

μ. Πέντε, Ἀρσενικὸν, οἷον ὁ ἀγαθός. Θηλυκὸν, οἷον ἡ ἀγαθή, Οὐδέτερον, οἷον τὸ ἀγαθόν. Κοινὸν, οἷον ὁ καὶ ἡ ἄνθρωπος. Ἐπίκοινον, οἷον ὁ ἀετὸς, καὶ ἡ χελιδὼν, ὅπερ μιᾷ φωνῇ, καὶ ἑνὶ ἄρθρῳ, ἀρσενικῷ, ἢ θηλυκῷ δηλοῖ τὰ δύο γένη.

δ. Ποίου εἴδους τῆς φωνῆς;

μ. Παραγώγου.

δ. Πόθεν παράγεται;

μ. Παρὰ τοῦ χρίομαι, χρίσομαι, κέχρισμαι, ὅθεν χρίσμα· κέχρισαι, χρίσις· κέχρισαι χριστός.

δ. Πόσα Εἴδη τῆς φωνῆς;

μ. Δύο, Πρωτότυπον, οἷον μέγας. Παράγωγον, οἷον μείζων.

δ. Πόσα Εἴδη τοῦ Παραγώγου;

μ. Ἑπτὰ, Πατρωνυμικὸν, Κτητικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Ὑποκοριστικὸν, Παρώνυμον, καὶ Ῥηματικόν.

δ. Ποίου Εἴδους τῶν Παραγώγων;

μ. Ῥηματικοῦ.

δ. Τί ἐστι Ῥηματικόν;

μ. Ῥηματικὸν ὄνομά ἐστι, τὸ ἀπὸ τοῦ Ῥήματος παραγόμενον. οἷον νοήμων ἀπὸ τοῦ νενόημαι· καὶ φιλήμων ἀπὸ τοῦ πεφίλημαι.

δ. Ποίου εἴδους τῆς σημασίας;

μ. Ἐπιθέτου.

δ. Πό-

δ. Ἔξω δὲ τῆς συνεπείας τοῦ λόγου δέχεταί ποτε βαρεῖαν ἡ λέξις;

μ. Οὐμενοῦν.

δ. Πόσοι χρόνοι;

μ. Δύο, μακρὰ, καὶ Βραχεῖα.

δ. Πόσα Πνεύματα;

μ. Δύο, Δασεῖα, καὶ Ψιλή.

δ. Πόσα Πάθη;

μ. Τρία, Ἀπόστροφος, Ὑφὲν, καὶ Ὑποδιαστολή.

## Τεχνολογία Β τῶν Ὀκτὼ Μερῶν τοῦ Λόγου κατὰ τὰ παρεπόμενα.

### ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

δ. Χριστὲ σῶσον δὴ τὸν πολλάκις ἡμαρτηκότα εἰς σέ, Πόσα μέρη τοῦ Λόγου εἰσίν;

μ. Ὀκτώ.

δ. Χριστὲ, ποίου μέρους λόγου ἐστίν;

μ. Ὀνόματος.

δ. Τί ἐστιν Ὄνομα;

μ. Ὄνομά ἐστι μέρος Λόγου κλιτὸν, οὐσίαν ἰδίαν, ἢ κοινὴν σημαῖνον.

δ. Ποῖα τῶν Ὀνομάτων ἰδίαν σημαίνουσιν οὐσίαν;

μ. Τὰ Κύρια.

δ. Ποῖα δὲ κοινήν;

μ. Τὰ Προσηγορικά.

δ. Πόσα παρέπονται τῷ Ὀνόματι;

μ. Πέντε, Γένος, Εἶδος, Σχῆμα, Ἀριθμὸς, Πτῶσις.

δ. Ποίου Γένους; μ. Ἀρ-

μ. Α'ρσενικοῦ.

δ. Πόσα Γεύη;

μ. Πεύτε, Α'ρσενικὸν, οἷον ὁ ἀγαθός. Θηλυκὸν, οἷον ἡ ἀγαθή, Οὐδέτερον, οἷον τὸ ἀγαθόν. Κοινὸν, οἷον ὁ καὶ ἡ ἄνθρωπος. Ε'πίκοινον, οἷον ὁ ἀετὸς, καὶ ἡ χελιδὼν, ὅπερ μιᾷ φωνῇ, καὶ ἑνὶ ἄρθρῳ, ἀρσενικῷ, ἢ θηλυκῷ δηλοῖ τὰ δύο γεύη.

δ. Ποίου εἴδους τῆς φωνῆς;

μ. Παραγώγου.

δ. Πόθεν παράγεται;

μ. Παρὰ τοῦ χρίομαι, χρίσομαι, κέχρισμαι, ὅθεν χρίσμα· κέχρισαι, χρίσις· κέχρισαι χριστός.

δ. Πόσα Εἴδη τῆς φωνῆς;

μ. Δύο, Πρωτότυπον, οἷον μέγας. Παράγωγον, οἷον μείζων.

δ. Πόσα Εἴδη τοῦ Παραγώγου;

μ. Ε'πτὰ, Πατρωνυμικὸν, Κτητικὸν, Συγκριτικὸν, Υ'περθετικὸν, Υ'ποκοριστικὸν, Παρώνυμον, καὶ Ρ'ηματικόν.

δ. Ποίου Εἴδους τῶν Παραγώγων;

μ. Ρ'ηματικοῦ.

δ. Τί ἐστι Ρ'ηματικόν;

μ. Ρ'ηματικὸν ὄνομά ἐστι, τὸ ἀπὸ τοῦ Ρ'ήματος παραγόμενον. οἷον νοήμων ἀπὸ τοῦ νενόημαι· καὶ φιλήμων ἀπὸ τοῦ πεφίλημαι.

δ. Ποίου εἴδους τῆς σημασίας;

μ. Ε'πιθέτου.

δ Πο-

δ. Ἔξω δὲ τῆς συνεπείας τοῦ λόγου δέχεταί ποτε βαρεῖαν ἡ λέξις;
μ. Οὐ μένουν.
δ. Πόσοι χρόνοι;
μ. Δύο, μακρὰ, καὶ Βραχεῖα.
δ. Πόσα Πνεύματα;
μ. Δύο, Δασεῖα, καὶ Ψιλή.
δ. Πόσα Πάθη;
μ. Τρία, Ἀπόστροφος, Ὑφὲν, καὶ Ὑποδιαστολή.

## Τεχνολογία Β τῶν Ὀκτὼ Μερῶν τοῦ Λόγου κατὰ τὰ παρεπόμενα.

### ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

δ. Χριστὲ σῶσον δὴ τὸν πολλάκις ἡμαρτηκότα εἰς σέ, Πόσα μέρη τοῦ Λόγου εἰσίν;
μ. Ὀκτώ.
δ. Χριστὲ, ποίου μέρους λόγου ἐστίν;
μ. Ὀνόματος.
δ. Τί ἐστιν Ὄνομα;
μ. Ὄνομά ἐστι μέρος Λόγου κλιτὸν, οὐσίαν ἰδίαν, ἢ κοινὴν σημαῖνον.
δ. Ποῖα τῶν Ὀνομάτων ἰδίαν σημαίνουσιν οὐσίαν;
μ. Τὰ Κύρια.
δ. Ποῖα δὲ κοινήν;
μ. Τὰ Προσηγορικά.
δ. Πόσα παρέπονται τῷ Ὀνόματι;
μ. Πέντε, Γένος, Εἶδος, Σχῆμα, Ἀριθμὸς, Πτῶσις.
δ. Ποίου Γένους;

μ. Ἀρ-

μ. Ἡ παρακειμένη τῇ Λήγουσῃ.
δ. Ἡ δὲ Προπαραλήγουσα ποία;
μ. Ἡ ἐγγίζουσα τῇ παρακειμένῃ τῇ τελευταίᾳ.
δ. Παραδειγμάτισον ταύτας.
μ. Ἄνθρωπος, τὸ μὲν πος, Λήγουσα. τὸ δὲ θρω, Παραλήγουσα. τὸ δὲ ἂν, Προπαραλήγουσα.
δ. Πόσοι οἱ τόποι τῆς Ὀξείας;
μ. Τρεῖς, ἡ Λήγουσα, ἡ Παραλήγουσα, καὶ ἡ Προπαραλήγουσα.
δ. Πόσοι οἱ τόποι τῆς Περισπωμένης;
μ. Δύο, ἡ Λήγουσα, καὶ ἡ Παραλήγουσα.
δ. Πόσοι οἱ τόποι τῆς Βαρείας;
μ. Εἷς, ἡ Λήγουσα.
δ. Ὅτε τὸ Ὄνομα Ὀξεῖαν δέχεται ἐπὶ τῆςΛηγούσης, πῶς ὀνομάζεται;
μ. Ὀξύτονον.
δ. Ὅτε δὲ ἐπὶ τῆς Παραληγούσης αὐτὴν δέχεται, πῶς;
μ. Παροξύτονόν τε, καὶ βαρύτονον.
δ. Ὅτε δὲ ἐπὶ τῆς Προπαραληγούσης, πῶς;
μ. Προπαροξύτονόν τε, καὶ βαρύτονον.
δ. Ὅτε δὲ Περισπωμένην ἐπὶ τῆς Ληγούσης τοὔνομα δέχεται, πῶς ὀνομάζεται;
μ. Περισπώμενον.
δ. Ὅτε δὲ ἐπὶ τῆς Παραληγούσης αὐτὴν δέχεται;
μ. Προπερισπώμενον.
δ. Πότε δέχεται Βαρεῖαν ἡ λέξις;
μ. Ἐν τῇ συνεπείᾳ τοῦ λόγου.

δ. Ἔξω

δ. Τὶ γίνεται ἐκ τῶ Λέξεων;

μ. Λόγος, οἷον ὁ Πέτρος ἀναγινώσκει.

δ. Τί ἐςι Λόγος;

μ. Λόγος ἐςὶ λέξεων σωύθεσις, διάνοιαν αὐτοτελῆ δηλοῦσα.

δ. Πόσα τὰ μέρη τοῦ Λόγου;

μ. Ὀκτὼ, Ὄνομα, Ῥῆμα, Μετοχὴ, Ἄρθρον, Ἀντωνυμία, Πρόθεσις, Ἐπίῤῥημα, Σύνδεσμος.

δ. Εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ Μέρη τῶ Λόγυ;

μ. Εἰς δύο, εἰς Κλιτὰ, καὶ εἰς Ἄκλιτα.

δ. Πόσα Κλιτά.

μ. Πέντε. Ὄνομα, Ῥῆμα, Μετοχὴ, ἄρθρον, Ἀντωνυμία.

δ. Πόσα Ἄκλιτα;

μ. Τρία, Πρόθεσις, Ἐπίῤῥημα, Σωύδεσμος.

## ΠΕΡΙ' ΠΡΟΣΩΔΙ'ΑΣ.

δ. ΤΙ' ἐςὶ Προσῳδία;

μ. Προσῳδία ἐςὶ τόνος φωνῆς ἐγγραμμάτου.

δ. Εἰς πόσα διαιρεῖται ἡ Προσῳδία;

μ. Εἰς Τέσσαρα, εἰς Τόνους, εἰς Χρόνους, εἰς Πνεύματα, καὶ εἰς Πάθη.

δ. Πόσοι Τόνοι;

μ. Τρεῖς, Ὀξεῖα, Βαρεῖα, καὶ Περισπωμένη.

δ. Πόσοι τόποι τῶ Τόνων;

μ. Τρεῖς, Λήγυσα, Παραλήγυσα, καὶ Προπαραλήγυσα.

δ. Ποία ἐςὶν ἡ Λήγυσα;

μ. Ἡ τελευταία συλλαβὴ τῆς λέξεως.

δ. Ποία ἡ Παραλήγουσα;

μ. Ἡ πα-

μ. Τρία, θ. φ. χ.
δ. Πόσα Μέσα;
μ. Τρία, β. γ. δ.
δ. Τίνι δασεῖ γράμματι ἀντιστοιχεῖ τὸ κ;
μ. Τῷ χ.
δ. Τίνι δὲ τὸ π;
μ. Τῷ φ.
δ. Τίνι δὲ τὸ τ;
μ. Τῷ θ.
δ. Ποίων Συμφώνων ἐστὶ μέσον τὸ β΄.
μ. Τοῦ π. φ.
δ. Ποίων δὲ τὸ γ;
μ. Τοῦ κ. χ.
δ. Ποίων δὲ τὸ δ;
μ. Τοῦ τ. θ.
δ. Τὶ γίνεται ἐκ τῶν Γραμμάτων;
μ. Συλλαβὴ, οἷον ἐκ τοῦ π καὶ ε, γίνεται πε.
δ. Τί ἐστι Συλλαβή;
μ. Συλλαβή ἐστι σύλληψις τὸ ἐλάχιστον δύο γραμμάτων.
δ. Εἰς πόσα διαιρεῖται ἡ Συλλαβή;
μ. Εἰς τρία, εἰς Μακρὰν, οἷον ἥρως. εἰς Βραχεῖαν, οἷον λόγος. εἰς Κοινὴν, οἷον ἄρης.
δ. Τὶ γίνεται ἐκ τῶν Συλλαβῶν;
μ. Λέξις, οἷον ἐκ τοῦ πε, τρος, γίνεται Πέτρος.
δ. Τί ἐστι Λέξις;
μ. Λέξις ἐστὶ μέρος ἐλάχιστον τοῦ συντακτικοῦ λόγου διαιρετικόν.

δ. Τὶ

μ. Δεκαεπτά, β. γ. δ. ζ. θ. κ. λ. μ. ν. ξ. π. ρ. σ. τ. φ. χ. ψ.
δ. Εἰς πόσα διαιροῦνται τὰ Σύμφωνα;
μ. Εἰς δύο, εἰς Ἡμίφωνα, καὶ εἰς Ἄφωνα.
δ. Πόσα Ἡμίφωνα;
μ. Ὀκτώ, ζ. ξ. ψ. λ. μ. ν. ρ. σ.
δ. Εἰς πόσα διαιροῦνται τὰ Ἡμίφωνα;
μ. Εἰς τρία, εἰς Διπλᾶ, εἰς Ἀμετάβολα, καὶ εἰς τὸ Μοναδικὸν σ.
δ. Πόσα Διπλᾶ;
μ. Τρία, ζ. ξ. ψ.
δ. Διατὶ λέγονται Διπλᾶ;
μ. Ὅτι ἐκ δύο συνετέθησαν γραμμάτων.
δ. Ἐκ ποίων συνετέθη τὸ ζ;
μ. Ἐκ τοῦ σ. καὶ δ. οἷον σδωή, ζωή.
δ. Τὸ δὲ ξ ἐκ ποίων;
μ. Ἐκ τοῦ κ. καὶ σ. οἷον κσύλον, ξύλον.
δ. Ἐκ ποίων δὲ τὸ ψ;
μ. Ἐκ τοῦ π. καὶ σ. οἷον πσυχή, ψυχή.
δ. Πόσα Ἀμετάβολα;
μ. Τέσσαρα, λ. μ. ν. ρ.
δ. Πόσα Ἄφωνα;
μ. Ἐννέα, β. γ. δ. κ. π. τ. θ. φ. χ.
δ. Εἰς πόσα διαιροῦνται τὰ Ἄφωνα
μ. Εἰς τρία, εἰς Ψιλά, εἰς Δασέα, καὶ εἰς Μέσα.
δ. Πόσα Ψιλά;
μ. Τρία, κ. π. τ.
δ. Πόσα Δασέα;

μ. Τρία

δ. Ἐκ ποίων;
μ. Τὸ μὲν η ἐκ δύο εε, τὸ δὲ ω ἐκ δύο ο ο.
δ. Πόσα Βραχέα;
μ. Δύο, ε. καὶ ο.
δ. Πόσα Δίχρονα;
μ. Τρία, α. ι. υ.
δ. Διατὶ λέγονται Δίχρονα;
μ. Ὅτι δύο ἔχουσι χρόνους, μακρόν τε, καὶ βραχύ.
δ. Εἰς πόσα διαιροῦνται τὰ Βραχέα, καὶ τὰ Δίχρονα;
μ. Εἰς δύο, εἰς Προτακτικὰ, καὶ Ὑποτακτικά.
δ. Πόσα Προτακτικά;
μ. Τρία, α. ε. καὶ ο.
δ. Διατὶ λέγονται Προτακτικά;
μ. Ὅτι προτάττονται ἐν τῇ συνθέσει τῶν Διφθόγγων;
δ. Πόσα Ὑποτακτικά.
μ. Δύο, ι, καὶ υ.
δ. Διατὶ λέγονται Ὑποτακτικά.
μ. Ὅτι ὑποτάττονται ἐν τῇ συνθέσει τῶν Διφθόγγων.
δ. Πόσαι Δίφθογγοι;
μ. Δέκα.
δ. Εἰς πόσα διαιροῦνται αἱ Δίφθογγοι;
μ. Εἰς δύο, εἰς Κυρίας, καὶ εἰς Καταχρηστικάς.
δ. Πόσαι Κύριαι;
μ. Ἕξ, αι, αυ, ει, ευ, οι, ου.
δ. Πόσαι Καταχρηστικαί;
μ. Τέσσαρες, ᾳ. ῃ. ῳ. υι.
δ. Πόσα Σύμφωνα;

# ΤΕΧΝΟΛΟΓΙΑ

## Α'.

## ΤΩ'Ν ΓΡΑΜΜΑ'ΤΩΝ.

δ. ΤΙ' ἐςι Γράμμα;

μ. Γράμμα ἐςὶ μέρος ἐλάχισον φωνῆς ἀδιαίρετον

δ. Πόσα εἰσὶ τὰ Γράμματα;

μ. Εἰκοσιτέσαρα, α, β, γ, δ, καὶ τὰ ἑξῆς.

δ. Εἰς πόσα διαιρῦνται τὰ εἰκοσιτέσαρα Γράμματα;

μ. Εἰς δύο, εἰς Φωνήεντα καὶ εἰς Σύμφωνα.

δ. Πόσα Φωνήεντα;

μ. Ἑπτὰ, α ε. η. ι. ο. υ. καὶ ω.

δ. Εἰς πόσα διαιρῦνται τὰ Φωνήεντα;

μ. Εἰς τρία, εἰς Μακρὰ, ἃ καὶ Διπλᾶ λέγονται, εἰς Βραχέα, καὶ εἰς Δίχρονα.

δ. Πόσα Μακρά;

μ. Δύο, η. καὶ ω.

δ. Διατὶ λέγονται, Διπλᾶ;

μ. Ὅτι ἐκ δύο σύγκεινται γραμμάτων.

δ. Ἐκ

τὰς ἐλπίδας. Ὥσπερ καὶ ὁ τῆς παρούσης Βίβλου Ποιητὴς, ἐλλόγιμος ὢν τῶν Ἑλλήνων παίδευσιν, καὶ ἐν Φιλοσοφίᾳ μεγάλην ἔχων προκοπὴν, ὃς καὶ πρῶτος τῶν Καθηγητῶν, τῶν ἐν τῷ Λυκείῳ τῶν Ἰωαννιτῶν διατριψάντων ἐστὶ, ὁρῶν τοὺς ἑαυτοῦ Μαθητὰς ἐπὶ τὰ μείζω τῶν μαθημάτων προχωρεῖν, χαριζόμενος αὐτοῖς, τὴν παροῦσαν Βίβλον πεποίηκε, τὴν ἀκοπιάστως ἐπὶ τὴν τῆς Γραμματικῆς κατάληψιν εἰσφέρουσαν τοὺς ἀρχαρίους.

Ὁ αὐτὸς ( Ἔῤῥωσθε. Εὐτυχεῖτε. (

Εἰ πολύϊδρις ἔμεν μέμαας Νέε Γραμματικῆς τε,
Κ' ἄλλης ἰδμοσύνης· μάνθανε τήνδε Βίβλον.

Ἦγε γὰρ εὐπορέει θεμέθλων σοὶ ἀστυφελίκτων·
Ἐργοπόνου Τέχνης Γραμματικῆς ἄπορα.

τοῦ μιῶ εἰς φῶς δέδοται, τοιαύτη ἀφελεία κεκοσμημένη, ὑμῖν μὴ δία τοῖς νέοις ςρατιώταις μάλα εἰκότως ἐφαρμόζυσα, ἥπερ ἡ ἐν ταῖς ὑμετέραις χερσὶν, ἀνάλογος τοῖς πρωτοπείροις οὖσα. Αὕτη γὰρ μεθόδου τινὸς τυχοῦσα, δι ἧς τὸ βαρύμοχθον (εἰ οὕτω χρὴ φάναι) τῆς Γραμματικῆς ἀφαιρεῖ, καὶ ῥαδίως τοὺς νεολέκτους μὴ ἄκροις χείλεσι γεύσασθαι, ἀλλὰ καὶ λόγων καὶ δογμάτων αὐτῆς ἐπιπλέον ἑςιαθῆναι ποιεῖται. Ταύτην τοίνυν πανθυμαδὸν δέξασθε, νομίζοντες ὡς εὐμαρῶς καὶ ταχέως δι αὐτῆς δυνηθήσαθε τῶν περάτων ἅψασθαι, καὶ τοὺς ὑμετέρους Καθηγεμόνας πάνυ τι εὐφρᾶναι, ἐν ἁπαλαῖς ἔτι καὶ καθαραῖς ταῖς ὑμετέραις ψυχαῖς ὁρῶντας τὴν ἀρετὴν ῥιζωθεῖσαν ἣν καὶ τραφεῖσαν, καὶ εἰς ἀκμὴν τελείαν προελθοῦσαν, συλλαμβανομένης τῆς ὑμετέρας φιλομαθείας, ἰδεῖν εὔχονται. Χαίρει μὲν γὰρ πόνων ὁ γεωργὸς, ἀδρυνομένων αὐτῶν τῶν ἀςαχύων, ἢ τῶν φυτῶν αὐξανομένων. Εὐφραίνουσι δὲ καὶ Μαθηταὶ Διδασκάλους, μάλιςα ὅταν δι εὐφυίαν βελτίους ἐφ᾽ ἑαυτοῖς ὑποφαίνουσι.

πὰς

# ΠΑ͂ΣΙ ΤΟΙ͂Σ ΦΙΛΟΜΑΘΕΣΤΑ΄ΤΟΙΣ ΝΕΑΝΙ΄ΣΚΟΙΣ

## Νικόλαος ὁ Σάρος, τὸ εὖ πράττειν.

Ἀλλ᾽ εἰ καὶ σφόδρα Βίβλων τῶν περὶ τὴν Γραμματικὴν Τέχνην οὐκ ὀλίγων (ὦ Καλλιμάχου Στρατιῶται) εὐπορεῖτε, δι᾽ ὧν ὅσον τὸ ἐφ᾽ ὑμῖν, προθύμως ἔχετε πρὸς τὸ αὐτὴν καρποῦσθαι· ἧς πολλάκις τὸ δυσχερὲς πολλοὺς τῶν βουλομένων τινὸς τῶν αὐτῆς μερῶν ἀπολαῦσαι, πόῤῥω πȣ τοῦ σκοπȣ ἀπέβαλε, καὶ τῆς τῶν γραμμάτων ἀρετῆς, ἧς δῶρον ἄλλο μεῖζον οὐκ ἔςι παρὰ Θεοῦ λαβεῖν, ἀπεςέρησε· ἐμπῆς οὐδεμία αὐτῶν, μέχρι

 τοῦ

# ΣΤΑΧΥΟΛΟΓΙΑ

## ΤΕΧΝΟΛΟΓΙΚΗ'

Κατ' ἐρωταπόκρισιν τῆς Γραμματικῆς Τέχνης,

Ἐκδοθεῖσα παρὰ Βησσαρίωνος Ἱερομονάχου Μακρῆ τοῦ ἐξ Ἰωαννίνων·

Νεωστὶ δὲ τυπωθεῖσα μετὰ Προσθήκης τῶν τοῦ Ἀμμωνίου ὁμοίων καὶ διαφόρων Λέξεων, τῶν Χρυσῶν Ἐπῶν Πυθαγόρου, καὶ ἄλλων τινῶν ὠφελίμων, ἐπιμελείᾳ τε καὶ διορθώσει Ἰωάννου Ἱερέως Ἀβραμίου τοῦ Κρητός.

Con Licenza de' Superiori, e Priuilegio.

*Οἰκοδομεῖν χωρὶς θεμέθλου πόνος ἐστὶ μάταιος,*




*Νόσφι δὲ Γραμματικῆς ἀνεμώλιον ἐστὶ μαθῆσαι.*


ΕΝΕΤΙΗΣΙ. 1694.

Παρὰ Νικολάῳ τῷ Σάρῳ. αχϙδ'.